ΜΟΥΣΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ.



ΠΑΤΡΙΑΡΧΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ἐπιβεβαιοῖ.

† Ἐγκρίσει τῆς Α. Θ. Παναγιότητος καὶ τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου, χορηγεῖται ἡ Ἐκκλησιαστικὴ ἄδεια τοῖς Διδασκάλοις τῆς Πατριαρχικῆς Σχολῆς τῆς Ἐκκλησιαστικῆς Μουσικῆς, ὅπως ἐκτυπώσωσιν ἰδίοις αὐτῶν ἀναλώμασιν ἐν Περιοδικοῖς φυλλαδίοις μουσικὰ μαθήματα τῆς ἐνιαυσίου ἱερᾶς Ἀκολουθίας. Διὸ καὶ δίδοται τὸ παρὸν κατ' ἐντολὴν τῆς Α. Θ. Παναγιότητος καὶ τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου.

Τῇ 18 Νοεμβρίου 1868.

† Ὁ ἐκ τῶν μελῶν τῆς ἱερᾶς Συνόδου, καὶ Πρόεδρος τῆς Ἐφορείας τῆς Μουσικῆς Σχολῆς

ΓΑΝΟΥ καὶ ΧΩΡΑΣ ΧΡΥΣΑΝΘΟΣ.



ΜΟΥΣΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΔΙΗΡΗΜΕΝΗ ΕΙΣ ΤΟΜΟΥΣ

ΚΑΙ

ΠΕΡΙΕΧΟΥΣΑ

Ἁπάσης τῆς ἐνιαυσίου Ἀκολουθίας

ΤΑ ΜΑΘΗΜΑΤΑ

τῶν

ΑΡΧΑΙΩΝ

Ἐπὶ τῆς Βυζαντινῆς ἐποχῆς καὶ μετ' αὐτὴν

ΜΟΥΣΙΚΟΔΙΔΑΣΚΑΛΩΝ

Μετὰ προσθήκης τῶν μέχρι τοῦδε ἀνεξηγήτων,

ΕΚΔΙΔΕΤΑΙ

ΕΓΚΡΙΣΕΙ καὶ ΑΔΕΙΑ

ΤΗΣ Α. Θ. ΠΑΝΑΓΙΟΤΗΤΟΣ ΚΑΙ ΤΗΣ ΙΕΡ. ΣΥΝΟΔΟΥ

Παρὰ τῶν

ΜΟΥΣΙΚΟΔΙΔΑΣΚΑΛΩΝ

ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΣΧΟΛΗΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ

ΜΟΥΣΙΚΗΣ

Ἀναλώμασιν αὐτῶν τε καὶ τῶν φιλομούσων

ΣΥΝΔΡΟΜΗΤΩΝ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΕΝ ΤΗ ΠΑΤΡΙΑΡΧΙΚΗ ΤΥΠΟΓΡΑΦΙΑ, ΤΗ ΔΙΕΥΘΥΝΟΜΕΝΗ

Ὑπὸ

ΤΟΥ Κ. Β. Δ. ΚΑΛΛΙΦΡΟΝΟΣ.

ἀωξή. 1868.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΚΡΗΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ

ΒΙΒΛΙΟΘΗΚΗ [illegible] ΚΡΗΤΗΣ
Αριθ. εἰσαγ. 3714

« *Πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ* ».

(Πρὸς Ἐφεσ. Ε. 19).

ΦΙΛΟΜΟΥΣΟΙ ΟΜΟΓΕΝΕΙΣ!

Προνοίᾳ Πατρικῇ τῆς Α. Θ. Παναγιότητος καὶ τῆς ἐνδημούσης ἁγίας καὶ ἱερᾶς Συνόδου, συστηθείσης ἐπὶ ἀῤῥαγέσι θεμέθλοις τῆς πάλαι Πατριαρχικῆς Σχολῆς τῆς Ἐκκλησιαστικῆς Μουσικῆς, ἡμεῖς οἱ κατ' ἐκλογὴν Συνοδικὴν διορισθέντες Διδάσκαλοι ἐν αὐτῇ, κατιδόντες ὅτι τὰ πλεῖστα τῶν διδαχθησομένων μαθημάτων ὑπάρχουσιν ἀνέκδοτα, ἐκ δὲ τῶν ἐκδεδομένων Μουσικῶν βιβλίων τὰ μέν εἰσι σπάνια, τὰ δὲ καὶ δυσώνητα, πάντα δὲ τὰ ἐξηγημένα μαθήματα, ἀντιγραφέντα παρὰ τῆς ἀκαμάτου δεξιᾶς τοῦ ἀειμνήστου Διδασκάλου καὶ ἐξηγητοῦ Χουρμουζίου Χαρτοφύλακος, σώζονται ἐν χειρογράφοις ἀποτελοῦσιν ὀγκώδεις Τόμους, κειμένους ἐν τῇ Βιβλιοθήκῃ τοῦ ἐν Φαναρίῳ Ἁγιοταφιτικοῦ Μετοχίου, ἐκ τῶν χειρογράφων τούτων ἀντιγράψαντες μετὰ κόπου πολλοῦ καὶ συντόνου προσοχῆς πάντα τὰ ἐν τῇ Ἀγγελίᾳ περιεχόμενα μαθήματα, καὶ ἐπιθυμοῦντες ἵνα φανῶμεν ὠφέλιμοι καὶ πρὸς τοὺς μαθητὰς τῆς Σχολῆς καὶ ἐξόχως πρὸς πάντας τοὺς ἁπανταχοῦ ὁμογενεῖς ἡμῶν, Πατριαρχικῇ Συνοδικῇ ἀδείᾳ καὶ ἐγκρίσει ἐκδίδομεν τύποις ἅπαντα εἰς τόμους κατὰ φυλλάδια περιοδικὰ διὰ τὸ εὐώνητον. Βέβαιοι δ' ἐσμὲν, ὅτι πάντες οἵ τε Μουσικοὶ καὶ οἱ λοιποὶ τῶν φιλομούσων ὁμογενῶν, δικαίως ἐκτι-

ς'.

μήσαντες τοὺς ἐν τῇ Μουσικῇ ταύτῃ Βιβλιοθήκῃ ἀρχαίους Μουσικοδιδασκάλους, ὧν τὰ ἀνέκδοτα μέχρι τοῦδε, ἐκδιδόμενα δὲ ἤδη μαθήματα ἀριδήλως κηρύττουσι τὸ ἔξοχον τῆς Μουσικῆς αὐτῶν τέχνης, προθύμως καὶ ἀσμένως ἀποδέξονται τὴν Βίβλον, φιλοτιμούμενοι ἕκαστος εἰς ἀπόκτησιν αὐτῆς.

Ἐν Κωνσταντινουπόλει, τῇ 15 Νοεμβρίου 1868.

Οἱ Διδάσκαλοι καὶ Ἐκδόται

ΣΤΑΥΡΑΚΗΣ ΓΡΗΓΟΡΙΑΔΗΣ Πρωτοψάλτης τῆς Μεγ. Ἐκκλησιας.

ΙΩΑΣΑΦ ΡΩΣΣΟΣ ΑΓΙΟΡΕΙΤΗΣ.

Χ. ΠΑΝΑΓΙΩΤΗΣ Γ. ΚΗΑΤΖΑΝΙΔΗΣ.


ΔΗΜΗΤΡΙΟΣ ΒΥΖΑΝΤΙΟΣ.

ΟΝΟΥΦΡΙΟΣ ΒΥΖΑΝΤΙΟΣ.

ΘΕΟΔΩΡΟΣ Μ. ΑΡΙΣΤΟΚΛΗΣ.

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν σφραγῖδα τῆς Πατριαρχικῆς Μουσικῆς Σχολῆς, θεωρεῖται κλοπιμαῖον καὶ καταδιώκεται κατὰ τοὺς νόμους.





Τῷ

ΠΑΝΑΓΙΩΤΑΤΩ ΘΕΙΟΤΑΤΩ ΚΑΙ ΣΟΦΩΤΑΤΩ

ΟΙΚΟΥΜΕΝΙΚΩ ΠΑΤΡΙΑΡΧΗ

ΚΥΡΙΩ ΚΥΡΙΩ

ΓΡΗΓΟΡΙΩ ΣΤ'.

Τῷ δεύτερον ἤδη τοὺς οἴακας τῆς Ἐκκλησίας διευθύνοντι

ΚΑΙ ΤΗ ΠΕΡΙ ΑΥΤΟΝ

ΑΓΙΑ *καὶ* ΙΕΡΑ

ΣΥΝΟΔΩ

ΤΗΝ

ΜΟΥΣΙΚΗΝ ΒΙΒΛΙΟΘΗΚΗΝ

Ὀφειλομένως *καὶ* εὐσεβάστως

Ἀνατιθέασιν

ΟΙ ΕΚΔΟΤΑΙ

ΑΡΓΕΙΑ.

Φιλόμουσοι ὁμογενεῖς!

Ἡ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία, ἡ διηνεκῶς μεριμνῶσα περὶ παντὸς ἀφορῶντος τὴν πνευματικὴν τῶν τέκνων αὐτῆς ὠφέλειαν, ἐνδελεχῶς προνοοῦσα καὶ περὶ τῆς ἱερᾶς Ἐκκλησιαστικῆς Μουσικῆς, τὴν ἀρχαίαν Πατριαρχικὴν Μουσικὴν Σχολὴν, τὴν κατὰ τὸ 1815 ἔτος μόλις ἀναφανεῖσαν, καὶ μετ' ὀλίγον σιγήσασαν, εἶτα δὲ καὶ ἐπὶ τῆς πρώτης Πατριαρχείας Ἀνθίμου τοῦ ς'. μικρὸν διαρκέσασαν, πρὸ δύο δὲ ἐτῶν αὖθις συστᾶσαν, ἤδη ἐπὶ ἀκραδάντοις βάσεσι, διὰ τελειοτέρου, ὅσον οἷόν τε, Κανονισμοῦ ἐστερέωσε, πρός τε συστηματικὴν καὶ συνεχῆ διδασκαλίαν τῆς ἱερᾶς καὶ καλῆς τέχνης, καὶ πρὸς διάδοσιν καὶ ἀσφαλῆ διάσωσιν τοῦ ἀρχαίου, γνησίου, σεμνοῦ καὶ μεγαλοπρεποῦς μέλους, τοῦ ἀλλοιωθέντος καὶ παραμορφωθέντος διά τε τὰς συνεχεῖς πρὸ τοῦ τύπου ἀντιγραφὰς, καὶ διὰ τὰς ὑπὸ τοσούτων ἐκδοτῶν μετατυπώσεις, καὶ διὰ τὰς ἰδιοτρόπους μάλιστα ξενοφωνίας, αἵτινες παρεισρήσασαι εἰς τὰ ἱερὰ ἄσματα τῆς Ἐκκλησίας, ἕνεκα τῆς ἀπειρίας, ἢ καὶ τῆς αὐταρεσκείας Ἱεροψαλτῶν τινῶν, παρήλλαξαν ὅλως τὴν σεμνότητα καὶ τὸ γνήσιον αὐτοῦ. Ἵνα δὲ ἐπανέλθῃ ἡ Ἐκκλησιαστικὴ ἡμῶν Μουσικὴ εἰς τὴν ἀρχαίαν αὐτῆς εὐκοσμίαν, ἐκρίθη ἀναγκαῖον, ὅπως τὰ διδαχθησόμενα ἐν τῇ Σχολῇ μαθήματα ὦσιν εἰς τὸ ἑξῆς κεκαθαρισμένα ἅπαντα ἀπὸ τῶν διαφόρων ξενισμῶν, ὅπερ ἄλλως οὐ δύναται κατορθωθῆναι, εἰμὴ διὰ τοῦ παραλληλισμοῦ τῆς ὑπὸ τῶν τριῶν Διδασκάλων ἐξηγήσεως μετὰ τῆς παλαιᾶς Πέτρου τοῦ Πελοποννησίου, καὶ αὐτῆς τῆς τοῦ Πέτρου μετὰ τῆς ἔτι ἀρχαιοτέρας.

δ'.

Περὶ τῶν διδαχθησομένων μαθημάτων τετραμελὴς Ἐπιτροπὴ διορισθεῖσα παρὰ τοῦ Σεβασμιωτάτου ἁγίου Χίου, Προέδρου τοῦ μουσικοῦ Διδασκαλείου ἐν τῇ συστάσει τῆς Σχολῆς, καὶ ἱκανῶς συσκεφθεῖσα, ἀπεφάνθη, ὅπως εἰσαχθῶσιν εἰς τὴν Σχολὴν τὰ ἑξῆς Μουσικὰ βιβλία καὶ μαθήματα, ἅπερ καὶ ἐνεκρίθησαν παρά τε τοῦ Σ. Προέδρου καὶ τοῦ συλλόγου τῶν Διδασκάλων· οἷον, Σύντομον στιχηραρικὸν μέλος, ἤτοι Ἀναστασιματάριον καὶ Δοξαστάριον Πέτρου Λαμπαδαρίου τῆς Α'. ἐκδόσεως: Ἀργὸν στιχηράριον Μανουὴλ τοῦ Χρυσάφου ἀνέκδοτον μέχρι τοῦδε, καὶ τὸ συντετμημένον αὐτοῦ παρὰ Ἰακώβου Πρωτοψάλτου Δοξαστάριον ἐκδεδομένον: Εἱρμολόγιον τῶν Καταβασιῶν ἀργὸν καὶ σύντομον Πέτρου Λαμπαδαρίου: Ἀνθολογία, ἡ τετράτομος Πανδέκτη: Τὸ καλοφωνικὸν Εἱρμολόγιον, καὶ τὰ κατ' ἐκλογὴν μαθήματα τῆς Παπαδικῆς μελοποιηθέντα παρὰ διαφόρων τῆς Βυζαντινῆς ἐποχῆς Μουσικοδιδασκάλων, μέχρι τοῦδε ἀνέκδοτα.

Ἐπειδὴ δὲ τῶν βιβλίων τούτων τινὰ μέν εἰσι δυσεύρετα καὶ δυσώνητα, ἄλλα δὲ καὶ ἀνέκδοτα σωζόμενα ἐν χειρογράφοις, ἡμεῖς οἱ ἐν τῇ Πατριαρχικῇ Μουσικῇ Σχολῇ διδάσκοντες, δι' ἀναφορᾶς ἡμῶν πρὸς τὴν Α. Θ. Παναγιότητα καὶ τὴν ἱερὰν Σύνοδον παρουσιασθέντες, ἐλάβομεν ἔγγραπτον τὴν ἀνωτέρω Πατριαρχικὴν Συνοδικὴν ἄδειαν, ὅπως ἐκδῶμεν ἁπάσης τῆς ἐνιαυσίου Ἀκολουθίας τὰ μαθήματα ἀργὰ καὶ σύντομα, κεκαθαρισμένα ὡς εἴπομεν, καὶ ἀπὸ τοῦ ἀναλυτικοῦ τρόπου μεταπεποιημένα ἐπὶ τὸ συνοπτικώτερον, καὶ ἐπανερχόμενα εἰς τὸ ἀρχαῖον σεμνὸν Ἐκκλησιαστικὸν μέλος διὰ τοῦ παραλληλισμοῦ ὅλων τῶν μαθημάτων τῆς τῶν τριῶν Διδασκάλων ἐξηγήσεως μετά τε τῆς ἀρχαιοτάτης στενογραφίας καὶ τῆς μετέπειτα Πέτρου τοῦ Πελοποννησίου γραφῆς.

Ἀναλαβόντες οὖν ἔργον πολύμοχθον, πόνων καὶ δαπάνης μὴ φειδόμενοι, ἀλλὰ τὴν ὠφέλειαν τῶν ὁμογενῶν ἡμῶν ἐπιθυμοῦντες, ἀναγγέλλομεν πᾶσι τοῖς φιλογενέσι Μουσικοῖς τε καὶ μὴ, τὴν ἔκδοσιν τῶν μουσικῶν μαθημάτων ἁπάσης τῆς ἐνιαυσίου ἱερᾶς Ἀκολουθίας, πληρεστάτην σχεδὸν, ὡς

ἐν τῷ ἑπομένῳ Πίνακι καθορᾶται, καθότι οὐ μόνον τὰ ὑπὸ τῶν ἀοιδίμων τριῶν Διδασκάλων ἐξηγημένα καὶ ἐκδεδομένα, ἀλλὰ καὶ τὰ μέχρι τοῦδε ἀνέκδοτα καὶ τὰ ἀνεξήγητα ὑπ' αὐτῶν ἐξηγηθήσονται ἤδη καὶ συνεκδοθήσονται, καὶ πολλὰ δὲ ἀμελοποίητα εἰσέτι ὄντα μελοποιηθήσονται.

Ἡ βίβλος, ὡς ἐκ τῆς πληθύος τῆς ὕλης, συμπληρούσης πολλὰ μουσικὰ βιβλία, ὠνομάσθη καταλλήλως «ΜΟΥΣΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ». Διῃρημένη δὲ εἰς τόμους, ἐκδίδεται ἐν περιοδικοῖς φυλλαδίοις διὰ τὸ εὐώνητον, ἀνὰ δύο κατὰ μῆνα, εἰς χαρτίον τῆς καλλιτέρας ποιότητος. Ἕκαστον φυλλάδιον, συγκείμενον ἐκ τεσσάρων ὁλοκλήρων τυπογραφικῶν φύλλων, τιμᾶται διὰ μὲν τοὺς ἐντὸς τῆς Πρωτευούσης καὶ τῶν περιχώρων αὐτῆς ἀντὶ 6 γροσίων μεταλλικῶν· διὰ δὲ τοὺς ἐκτὸς αὐτῆς, ἡ τιμὴ ὁρίζεται κατ' ἔτος, καθ' ἑξαμηνίαν καὶ κατὰ τριμηνίαν, προπληρωτέα ἅμα τῇ παραλαβῇ τοῦ πρώτου φυλλαδίου καὶ ἐλευθέρα ταχυδρομικῶν διὰ τοὺς προπληρώσαντας Συνδρομητάς: Ἐννοεῖται δὲ ἡ συνδρομὴ αὐτῶν διὰ 24 φυλλάδια. Καὶ ἐν μὲν ταῖς ἐντὸς τοῦ Κράτους ἐπαρχίαις τιμὴ ἐτησίας συνδρομῆς 7 Μεδζιτιέδες, ἑξαμηνιαίας 4, καὶ τριμηνιαίας 2 1]2. Ἐν Ἑλλάδι δὲ, Αἰγύπτῳ, Ἱερουσαλὴμ καὶ Βλαχίᾳ, τιμὴ ἐτησ. 32 φράγκ. ἑξαμ. 18, καὶ τριμ. 9 1]2, ὁμοίως προπληρωτέα. Εἰς δὲ τοὺς προμηθεύοντας δέκα συνδρομάς, δίδεται ἓν δωρεάν.

Ἐπειδὴ δὲ οἱ πλεῖστοι τῶν Μουσικῶν μόνον τὰ ὀνόματα βλέπουσιν, ἀγνοοῦσιν ὅμως τίνες καὶ πότε ὑπῆρξαν οἱ ποιηταὶ τῶν Ἰδιομέλων, τῶν Δοξαστικῶν καὶ τῶν Κανόνων κτλ., ὡς καὶ οἱ ἀρχαῖοι μελοποιοὶ τοσούτων μαθημάτων, πρὸς γνῶσιν αὐτῶν καὶ ὠφέλειαν μάλιστα, ἰδιαίτερον φύλλον, ἐν τῷ τέλει ἑκάστου τόμου, θέλει διαλαμβάνει καὶ περὶ τῶν ἐν αὐτῷ ἐμπεριεχομένων ποιητῶν τε καὶ μελοποιῶν ἀρχαίων καὶ νεωτέρων μέχρι Κωνσταντίνου Πρωτοψάλτου τῆς Μ. Ἐκκλησίας.

Ἡ ΜΟΥΣΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ αὕτη οὐ χρήζει ἐπαίνου καὶ συστάσεως, οὖσα αὐτὴ καθ' ἑαυτὴν αὐτοσύστατος· διότι

ἕκαστος ἐκ τοῦ ἑπομένου Πίνακος κατανοεῖ ἀμέσως πόσον πλουσία ἐστὶ καὶ ὠφέλιμος, ὡς περιέχουσα ὕλην ἄφθονον καὶ ἐκλεκτὴν, μαθήματα τῶν τε ἐπὶ τῆς Βυζαντινῆς ἐποχῆς Μουσικοδιδασκάλων ἀξιοσπούδαστα, τὰ πλεῖστα μέχρι τοῦδε ἀνέκδοτα, καὶ τῶν μετὰ τὴν ἅλωσιν μελοποιῶν ἄχρι τῆς ἐποχῆς τῶν τριῶν Διδασκάλων, καὶ τὴν βιογραφίαν αὐτῶν, ὡς προελέχθη· ἔτι δὲ καὶ τὰ νεωστὶ μελοποιηθησόμενα παρ' ἡμῶν.

Ἐπειδὴ δὲ πᾶς ἄνθρωπος φύσει ἀγαπᾷ τὸ καλὸν καὶ ὠφέλιμον, πεπείσμεθα ὅτι ἕκαστος τῶν φιλομούσων, ἐπιποθῶν τὴν ἀπόκτησιν τῆς ΜΟΥΣΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ, τοῦ πολυτίμου καὶ περιέργου τούτου θησαυροῦ, προθύμως ἐγγραφήσεται συνδρομητὴς εἰς αὐτήν.

Πᾶσα αἴτησις συνδρομῆς ἀπευθύνεται πρὸς τὸν Ἄρχοντα Πρωτοψάλτην Κ. Σταυράκην.

Ἡ ἐκτύπωσις ἄρχεται τῇ 1ῃ Νοεμβρίου ἐν τῷ Πατριαρχικῷ Τυπογραφείῳ, τῷ διευθυνομένῳ παρὰ τοῦ Κ. Β. Δ. Καλλίφρονος.

Ἐν Κωνσταντινουπόλει, τῇ 17 Ὀκτωβρίου 1868.

Εἰς Φανάριον.

ΟΙ ΔΙΔΑΣΚΑΛΟΙ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΜΟΥΣΙΚΗΣ ΣΧΟΛΗΣ

Συντάκται καὶ Ἐκδόται

ΑΡΧΩΝ ΠΡΩΤΟΨΑΛΤΗΣ ΣΤΑΥΡΑΚΗΣ.

ΑΡΧΩΝ ΛΑΜΠΑΔΑΡΙΟΣ ΓΕΩΡΓΙΟΣ.

ΙΩΑΣΑΦ ΡΩΣΣΟΣ ΑΓΙΟΡΕΙΤΗΣ.

ΔΗΜΗΤΡΙΟΣ ΒΥΖΑΝΤΙΟΣ.

Χ. ΠΑΝΑΓΙΩΤΗΣ Γ. ΚΗΑΤΖΑΝΙΔΗΣ.

ΟΝΟΥΦΡΙΟΣ Ι. ΒΥΖΑΝΤΙΟΣ.

ΘΕΟΔΩΡΟΣ Μ. ΑΡΙΣΤΟΚΛΗΣ.

ΠΙΝΑΞ

ΤΩΝ ΕΝ ΤΗ

ΜΟΣΙΚΗ· ΒΙΒΛΙΟΘΗΚΗ·

Περιεχομένων.

Ἀναστασιματάριον ἀργὸν Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἐωθινὰ ἐν τῷ Ἀναστασιματαρίῳ Ἰωάννου τοῦ Γλυκέος, Πρωτοψάλτου τῆς Ἁγίας Σοφίας.

Ἀναστασιματάριον σύντομον Πέτρου Λαμπαδαρίου τοῦ Πελοποννησίου.

Παλαιὸν Στιχηράριον ἀργὸν, περιέχον Ἰδιόμελα καὶ Δοξαστικά.

Δοξαστάριον Ἰακώβου Πρωτοψάλτου, συντετμημένον ἐκ τοῦ παλαιοῦ, περιέχον καὶ τὰ Δοξαστικὰ τῶν Ἀποστίχων.

Δοξαστάριον σύντομον Πέτρου Λαμπαδαρίου, περιέχον καὶ τὰ Δοξαστικὰ τῶν μὴ ἑορταζομένων Ἁγίων τὰ νεωστὶ μελοποιηθέντα παρ' ἡμῶν.

Ἰδιόμελα ἁπάσης τῆς ἐνιαυσίου Ἀκολουθίας τά τε ἐκδοθέντα καὶ τὰ νεωστὶ μελοποιηθέντα παρ' ἡμῶν.

Εἱρμολόγιον ἀργὸν τῶν Καταβασιῶν καὶ ὅλων ἐν γένει τῶν Εἱρμῶν, Πέτρου Πελοποννησίου.

Εἱρμοὶ, κατὰ τὸ σύντομον Εἱρμολογικὸν μέλος, τῶν Μηναίων, Τριῳδίου καὶ Πεντηκοσταρίου, ἐκδεδομένοι καὶ ἀνέκδοτοι.

Τροπάρια τῶν Κανόνων τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν καὶ ὅλων τῶν ἑορταζομένων Ἁγίων, κατὰ τὸ ἀργὸν καὶ σύντομον Εἱρμολογικὸν μέλος, ἐκδεδομένα καὶ ἀνέκδοτα.

Προσόμοια ὅλων τῶν ἑορτῶν, καί τινα μετὰ τῶν τροπαρίων αὐτῶν, χάριν τῶν Μοναστηρίων, κατὰ τὸ ἀργὸν Εἱρμολογικὸν μέλος.

Ἀπολυτίκια, Ὑπακοαὶ, Καθίσματα, Κοντάκια καὶ Ἐξαποστειλάρια.

ή.

Παπαδική,

περιέχουσα τὰ ἑπόμενα μαθήματα.

Τὸ μέγα Ἴσον Ἰωάννου Μαΐστορος τοῦ Κουκουζέλη.

Ἀνοιξαντάρια Ἰωάννου τοῦ Κουκουζέλη, Ἀγαλλιανοῦ, Γεωργίου τοῦ Παναρέτου, Γεωργίου Κοντοπετρῆ, Ξένου τοῦ Κορώνη, Πρωτοψάλτου τῆς Ἁγίας Σοφίας, Ἰωάννου τοῦ Κλαδᾶ, Λαμπαδαρίου τῆς Ἁγίας Σοφίας, Μανουὴλ Χρυσάφου, Λαμπαδαρίου τῆς Ἁγίας Σοφίας, καὶ ἑφεξῆς.

Ἕτερα συντετμημένα παρὰ Χουρμουζίου Χαρτοφύλακος.

» Σύντομα, μελοποιηθέντα παρὰ τοῦ αὐτοῦ.

» Συντομώτερα τοῦ αὐτοῦ.

Μακάριος ἀνὴρ τὸ μέγα, παρὰ διαφόρων ἀρχαίων Μουσικοδιδασκάλων, Ἰωάννου Κουκουζέλου, Ξένου τοῦ Κορώνη, Ἰωάννου τοῦ Κλαδᾶ, Ἀγαλλιανοῦ, Γεωργίου Κοντοπετρῆ, Μανουὴλ Χρυσάφου, Μέλος Λατρινὸν καλούμενον.

Ἕτερον Πέτρου Λαμπαδαρίου.

» Τοῦ αὐτοῦ συντμηθὲν παρὰ Μανουὴλ Πρωτοψάλτου.

» Συντομώτερον Γεωργίου τοῦ Κρητός.

Στίχοι Καλοφωνικοὶ ἐκ τοῦ « Ἵνα τί ἐφρύαξαν » Ἰωάννου τοῦ Κουκουζέλη, Ξένου τοῦ Κορώνη, καὶ Μανουὴλ τοῦ Χρυσάφου κατ' αἴτησιν τοῦ Αὐτοκράτορος Κωνσταντίνου τοῦ Παλαιολόγου.

Κεκραγάρια (α) Βαλασίου Ἱερέως.

Ἕτερα τὰ λεγόμενα Ἁγιορείτικα.

» Ἰακώβου Πρωτοψάλτου.

Φῶς ἱλαρὸν τὸ ἀρχαῖον, εἰς ἦχον Δ'. φθορικὸν κατὰ διφωνίαν, Δι.

Προκείμενα ὅλης τῆς ἑβδομάδος, καὶ ὅλων τῶν Δεσποτικῶν Ἑορτῶν, ἔντεχνα, καλούμενα Δοχαί.

Ἕτεραι συντομώτεραι Δοχαί.

Μάθημα ψαλλόμενον εἰς τὰς Ἀρτοκλασίας, Κεχαριτωμένη χαῖρε, Ἰωάννου τοῦ Κουκουζέλου εἰς ἦχον Α'. Τετράφωνον.

Ἕτερον μάθημα, Θεοτόκε Παρθένε, Ὀκτάηχον, Πέτρου Μπερεκέτου.

Προκείμενα τῆς Μεγάλης Τεσσαρακοστῆς.

(α) Τὰ τοῦ Δαμασκηνοῦ τυπωθήσονται μετὰ τοῦ Ἀναστασιματαρίου του.

Θεὸς Κύριος τοῦ Ἀκαθίστου, τὸ ἀρχαῖον ἀργὸν καὶ σύντομον.
Τὸ προσταχθὲν τὸ ἀρχαῖον.
Τῇ ὑπερμάχῳ.
Ἕτερον μετὰ Κρατήματος παρὰ Ἰωάννου τοῦ Κλαδᾶ.
» Συντομώτερον Πέτρου Μπερεκέτου.
Ἀλληλουϊάριον τοῦ Νυμφίου ἀρχαῖον μέλος, ἀργὸν καὶ σύντομον.
Ἰδοὺ ὁ Νυμφίος)
Ὅτε οἱ ἔνδοξοι) καὶ τὰ σύντομά των.
Τριαδικὰ τὰ συνήθη.
Εὐλογητάρια τὰ ἀρχαῖα.
Ἕτερα Πέτρου Λαμπαδαρίου, συντετμημένα.
» Τοῦ αὐτοῦ.
» Συντομώτερα.

Πολυέλεοι.

Δοῦλοι Κύριον, παρὰ πολλῶν μελοποιῶν ἀρχαίων, εἰς ἦχον Α'.
Ἕτερος Μανουὴλ Χρυσάφου τοῦ νέου.
» Ἰωάννου Πρωτοψάλτου, δύο.
» Δανιὴλ Πρωτοψάλτου.
» Πέτρου Λαμπαδαρίου, δύο.
» Μελετίου Σιναΐτου.
» Γρηγορίου Πρωτοψάλτου.
» Χουρμουζίου Χαρτοφύλακος,
» Ἐκλογὴ Ἰακώβου Πρωτοψάλτου.
Λόγον ἀγαθὸν Πέτρου Μπερεκέτου.
Ἕτερος Γεωργίου τοῦ Κρητός.
» Λόγον ἀγαθὸν παρὰ διαφόρων διδασκάλων, Γρηγορίου Μπούνη τοῦ Ἁλιάτου καὶ λοιπῶν.
» Χουρμουζίου Χαρτοφύλακος.
Ἐπὶ τὸν ποταμὸν Βαβυλῶνος παρὰ τῶν ῥηθέντων ἀρχαίων Μελοποιῶν.
Ἕτερος Γρηγορίου Πρωτοψάλτου.
» Χουρμουζίου Χαρτοφύλακος.
Ἐκλογαὶ πολυελέων εἰς διαφόρους Ἁγίους, παρὰ τῶν ἀρχαίων Μελοποιῶν.

Πασαπνοάρια.

Ἰωάννου τοῦ Κουκουζέλη.
Ἰωάννου Πρωτοψάλτου, καὶ τὸ μέγιστον.
Κλήμεντος ἱερέως.
Μελετίου Σιναΐτου.
Πέτρου Λαμπαδαρίου τρία.

Πασαπνοάρια τῶν Αἴνων.

Μανουὴλ Χρυσάφου.
Ἰακώβου Πρωτοψάλτου.
Ἑωθινὰ ἀργὰ Ἰακώβου Πρωτοψάλτου (α).
Δοξολογίαι σύντομαι κατ' ἦχον Πέτρου Λαμπαδαρίου καὶ Μανουὴλ Πρωτοψάλτου, καὶ μία Γρηγορίου Πρωτοψάλτου.

Δοξολογίαι ἀργαί.

Μελχισεδὲκ Ἐπισκόπου Ῥαιδεστοῦ, ἦχος Α'. τετράφωνος.
Γερμανοῦ Νέων Πατρῶν, ἦχος Β'.
Βαλασίου ἱερέως ἦχος πλαγίου ά. πεντάφωνος.
Πέτρου Μπερεκέτου ἦχος πλαγίου δ'. νενανώ.
Ἰωάννου Πρωτοψάλτου ὀκτώ.
Δανιὴλ Πρωτοψάλτου μία.
Πέτρου Πρωτοψάλτου τοῦ Βυζαντίου μία.
Πέτρου Λαμπαδαρίου ὀκτώ.
Ἰακώβου Πρωτοψάλτου ὀκτώ.
Γεωργίου τοῦ Κρητὸς μία.
Χουρμουζίου Χαρτοφύλακος ἡ ἐναρμόνιος.
Γρηγορίου Πρωτοψάλτου τέσσαρες.
Ἀσματικὸν τοῦ Σταυροῦ.
Ἕτερον συντετμημένον.
Ἀσματικὸν Νεκρώσιμον, τὸ Ἁγιορείτικον, καὶ τὸ συνειθισμένον.
Τὸν Δεσπότην καὶ Ἄνωθεν οἱ Προφῆται) Ἰωάννου τοῦ Κουκουζέλη.
Ἕτερον τοῦ αὐτοῦ ἦχος πλάγιος Β'.
» Ἕτερον παρὰ διαφόρων ἀρχαίων Μελοποιῶν.
Περίζωσαι, Γρηγορίου Πρωτοψάλτου.

(α) Τὰ τοῦ Γλυκέος Ἑωθινὰ ἐν τῷ ἀργῷ Ἀναστασιματαρίῳ.

Τυπικὰ Πέτρου Λαμπαδαρίου.
Δεῦτε προσκυνήσωμεν ἀρχαῖον καὶ σύντομον.
Ἅγιος ὁ Θεὸς σύντομον.
Δύναμις ἀρχαῖον Ἰωάννου τοῦ Γλυκέος.
Ἕτερον Ξένου τοῦ Κορώνη.
» Γεωργίου τοῦ Κρητὸς καὶ τὸ Ἁγιορείτικον.
Τοῦ Βήματος τὸ ἀρχαῖον.
Ὅσιοι εἰς Χριστὸν σύντομον.
Δύναμις Μανουὴλ Χρυσάφου.
Τὸν Σταυρόν σου σύντομον.
Δύναμις Βαλασίου ἱερέως.
Ἀλληλουϊάριον παρὰ διαφόρων Μελοποιῶν. Ξένου τοῦ Κορώνη ἦχος Β΄. Βαλασίου ἱερέως βαρὺς, Ἰωάννου τοῦ Γλυκέος πλάγιος ά. κτλ.
Δόξα σοι Κύριε, εἰς πολλὰ ἔτη, καὶ τὰ ἐν ταῖς χειροτονίαις.
Κύριε ἐλέησον διαφόρων Μελουργῶν.
Εἰσοδικὰ παρὰ διαφόρων.

Χερουβικά.

Παρὰ ἀρχαίων καὶ νεωτέρων Διδασκάλων.

Ἰωάννου τοῦ Δαμασκηνοῦ.
Θεοφάνους Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Καρύκη.
Ἀθανασίου Πατριάρχου Κωνσταντινουπόλεως.
Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ.
Γερμανοῦ Νέων Πατρῶν.
Ναθαναὴλ Νικαίας.
Βαλασίου ἱερέως.
Ἰωάννου τοῦ Κουκουζέλη, Παλατινόν.
Ξένου τοῦ Κορώνη τὸ μέγιστον.
Ἰωάννου Γλυκέος, Δυσικὸν λεγόμενον.
Ἰωάννου τοῦ Κλαδᾶ.
Μανουὴλ Ἀγαλλιανοῦ Πρωτοψάλτου τῆς Ἁγίας Σοφίας.
Μανουὴλ Χρυσάφου Λαμπαδαρίου τῆς Ἁγ. Σοφίας.
Μανουὴλ Χρυσάφου τοῦ νέου.

Παϊσίου Μοναχοῦ.
Δούκα τοῦ Συροπούλου.
Πέτρου Μπερεκέτου.
Δανιὴλ Πρωτοψάλτου.
Πέτρου Πρωτοψάλτου τοῦ Βυζαντίου.
Πέτρου Λαμπαδαρίου.
Μανουὴλ Πρωτοψάλτου.
Γρηγορίου Πρωτοψάλτου.
Χουρμουζίου Χαρτοφύλακος.
Κωνσταντίνου Πρωτοψάλτου.
Χερουβικὰ σύντομα τῆς ἑβδομάδος Πέτρου Λαμπαδαρίου καὶ Γρηγορίου Πρωτοψάλτου.

Νῦν αἱ Δυνάμεις.

Ἰωάννου τοῦ Δαμασκηνοῦ.
Ἰωάννου τοῦ Κουκουζέλη.
Μάρκου Ἐφεσίου τοῦ Εὐγενικοῦ.
Τὸ συνειθισμένον.
Γεωργίου Πρωτοψάλτου τοῦ ἐκ Ῥαιδεστοῦ.
Ἰακώβου Πρωτοψάλτου.
Γεύσασθε. Παρὰ τῶν ἀνωτέρω Μελοποιῶν, καὶ
Ἰωάννου τοῦ Κλαδᾶ.
Γεωργίου τοῦ Κρητός.
Ἀγαπήσωσε Κύριε. Ἰακώβου Πρωτοψάλτου.
Ἅγιος, ἅγιος. Ἰωάννου τοῦ Γλυκέος.
Ἐπὶ σοὶ χαίρει. Ξένου τοῦ Κορώνη.
Τὴν γὰρ σὴν μήτραν. Ἰωάννου τοῦ Κλαδᾶ.
Ἄξιόν ἐστιν. Τὸ ἀρχαῖον.
Κοινωνικὰ τῆς ἑβδομάδος παρὰ διαφόρων.

Κοινωνικὰ Αἰνεῖτε.

Ἰωάννου τοῦ Δαμασκηνοῦ.
Ἀθανασίου Πατριάρχου.
Ἰωάννου τοῦ Κουκουζέλου.

Ναθαναὴλ Νικαίας.
Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ.
Γερμανοῦ Νέων Πατρῶν.
Νικηφόρου τοῦ Θηβαίκοῦ.
Ξένου τοῦ Κορώνη.
Ἀγάθωνος ἀδελφοῦ τοῦ Ξ. Κορώνη.
Ἰωάννου τοῦ Γλυκέος.
Ἰωάννου τοῦ Κλαδᾶ.
Μανουὴλ Χρυσάφου, ὀργανικά.
Μανουὴλ Κορώνη υἱοῦ τοῦ Ξένου,
Βαλασίου ἱερέως.
Πέτρου Μπερεκέτου.
Μανουὴλ Χρυσάφου τοῦ νέου.
Δανιὴλ Πρωτοψάλτου.
Πέτρου Πρωτοψάλτου τοῦ Βυζαντίου.
Πέτρου Λαμπαδαρίου.
Γρηγορίου Πρωτοψάλτου.
Ἕτερα τῆς ἑβδομάδος ἀρχαῖα.

Κοινωνικὰ τοῦ Ἐνιαυτοῦ.

Θεοδώρου Βασιλέως τοῦ Λασκάρεως.
Ξένου τοῦ Κορώνη.
Μανουὴλ Χρυσάφου τοῦ ἀρχαίου.
Γερμανοῦ Ἀρχιερέως.
Ἰωάννου τοῦ Κλαδᾶ.
Γεωργίου Πρωτοψάλτου τοῦ ἐκ Ῥαιδεστοῦ.
Βαλασίου ἱερέως.
Γεωργίου τοῦ Σγουροπούλου.
Ἰωάννου Πρωτοψάλτου.
Δανιὴλ Πρωτοψάλτου.
Πέτρου Λαμπαδαρίου.
Γεωργίου τοῦ Κρητός.
Μανουὴλ Πρωτοψάλτου.
Γρηγορίου Πρωτοψάλτου.
Χουρμουζίου Χαρτοφύλακος.
Κωνσταντίνου Πρωτοψάλτου.

Οἰκηματάριον.

Ἰωάννου τοῦ Γλυκέος.
Ἰωάννου τοῦ Κουκουζέλη.
Ἰωάννου τοῦ Κλαδᾶ.
Μανουὴλ Χρυσάφου τοῦ ἀρχαίου.
Βαλασίου ἱερέως.

Κρατηματάριον.

Παρὰ διαφόρων ἀρχαίων Διδασκάλων.

Θεοδώρου Βασιλέως τοῦ Λασκάρεως.
Ἰωάννου τοῦ Κουκουζέλη.
Ξένου τοῦ Κορώνη.
Γρηγορίου Μπούνη Ἀλιάτου Πρωτοψάλτου τῆς Ἁγ. Σοφίας.
Μανουὴλ Ἀγαλλιανοῦ Πρωτοψάλτου τῆς Ἁγ. Σοφίας.
Ἰωάννου τοῦ Κλαδᾶ.
Ἰωάννου τοῦ Γλυκέος.
Μανουὴλ Χρυσάφου.
Νικηφόρου τοῦ Ἠθικοῦ.
Γαβριὴλ Ἐπισκόπου Ἱερισσοῦ.
Κωνσταντίνου τοῦ ἐξ Ἀγχιάλου.
Μελχισεδὲκ Ῥαιδεστοῦ.

Μαθηματάριον.

Παρὰ διαφόρων ἀρχαίων Διδασκάλων.

Ἰωάννου τοῦ Κουκουζέλη.
Ξένου τοῦ Κορώνη.
Ἀγαλλιαννοῦ.
Ἰωάσαφ νέου Κουκουζέλη.
Ἰωάννου τοῦ Δαμασκηνοῦ.
Ἰωάννου τοῦ Γλυκέος.
Ἰωάννου τοῦ Κλαδᾶ.
Μανουὴλ Λαμπαδαρίου τῆς Ἁγ. Σοφίας.
Εἱρμολόγιον Καλοφωνικὸν παρὰ διαφόρων Μελοποιῶν.

ΠΡΟΛΟΓΟΣ.

§. 1. Πᾶσα τέχνη ὑπὸ τὴν τῶν Μουσῶν προστασίαν διατελοῦσα Μουσικὴ ὠνομάζετο· ἐνίοτε δὲ τὸ ὄνομα τοῦτο ἐδήλου ὅ τι ἰδίως καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις. Ἐν γένει δὲ, ὅ τι ἡμεῖς σήμερον ὀνομάζομεν Μουσικὴν, οἱ ἀρχαῖοι ὠνόμαζον Ἁρμονικήν· « Ἁρμονική ἐστιν ἐπιστήμη θεωρητικὴ καὶ πρακτικὴ τῆς τοῦ ἡρμοσμένου φύσεως. Ἡρμοσμένον δέ ἐστι τὸ ἐκ φθόγγων, καὶ διαστημάτων ποιὰν τάξιν ἐχόντων συγκείμενον » (1). Καὶ Πορφύριος εἰς Κλαυδίου Πτολεμαίου Ἁρμονικὰ, « τὴν Μουσικήν, φησι, σύμπασαν διαιρεῖν εἰώθασιν εἴς τε τὴν Ἁρμονικὴν καλουμένην Πραγματείαν, εἴς τε τὴν ῥυθμικὴν καὶ Μετρικήν » (2). Παρὰ δὲ Πλουτάρχῳ ἐκ Πλάτωνος περὶ Δεισιδαιμονίας, καὶ δῶρον θεῖον ὁμολογεῖται ἡ Μουσική. Τοῦτο δὲ τὸ θεῖον δῶρον, ἡ Μουσικὴ, τοσοῦτον ἀρχαία ἐστὶν, ὅσον καὶ ἡ Ποίησις, ἐφ' ᾧ καὶ Ἀοιδοὶ οἱ Ποιηταὶ καὶ Μελοποιοὶ ἐκαλοῦντο (3), διὰ τοῦτο ἁπαντῶμεν οὐ μόνον ἐν τῇ θείᾳ Γραφῇ καὶ πρὸ τοῦ Κατακλυσμοῦ μουσικοὺς καὶ μουσικῶν ὀργάνων ἐφευρετὰς, « καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰουβάλ· οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν » (4), ἀλλὰ καὶ ἐν τοῖς Ἡρωϊκοῖς χρόνοις βλέπομεν τὸν Ὁμηρικὸν Ἀχιλλέα, τὸν μέγαν αὐτοῦ χόλον καὶ τὴν λύπην διὰ τῆς μουσικῆς καταπραΰνοντα·

« Φρένα τερπόμενον φόρμιγγι λιγείῃ
Καλῇ δαιδαλέῃ . . . . . » (5)·

Καὶ ὅλως δὲ ἡ τῶν Ἑλλήνων ἀρχαιοτάτη σοφία ἐν τῇ Μουσικῇ ὑφίστατο, ὅπερ καὶ Ἀθήναιος ἐπιμαρτυρῶν λέγει (6)· « Τὸ δὲ ὅλον ἔοικεν ἡ παλαιὰ τῶν Ἑλλήνων σοφία τῇ Μουσικῇ μάλιστα δεδομένη, ἐξ οὗ περ δῆλον ὅτι ἥ τε Ὀρφέως θεολογία καὶ Μουσαίου καὶ Λίνου, καὶ πᾶσα ἡ τοῦ Ὁμήρου ποίησις ἐν ῥυθμοῖς μουσικοῖς ἦν· Ὅς (Ὅμηρος) διὰ τὸ μεμελοποιηκέναι πᾶσαν αὐτοῦ τὴν ποίησιν, ἀφροντιστὶ τοὺς πολλοὺς ἀκεφάλους ποιεῖ στίχους, καὶ λαγαροὺς, ἔτι δὲ καὶ μειούρους ». Διὸ καὶ φιλόσοφοι τὸ πά-

(1) Εὐκλείδ. Εἰσαγ. ἁρμον. σελ. 21. (2) Βιβλ. Α'. (3) Σέξτ. πρὸς Μουσικ. Βιβλ. Γ'. σελ. 538. (4) Γενέσ. Δ'. 21. (5) Ἰλ. Ι. 186. (6) Βιβλ. ΙΔ'.

λαι οἱ Μουσικοὶ ἐπωνομάζοντο, ὡς μαρτυρεῖ ὁ Σχολιαστὴς ἐν Ὀδυσσ. Γ. 270, λέγων· « Τὸ ἀρχαῖον οἱ ἀοιδοὶ φιλοσόφων τάξιν ἐπεῖχον ». Ἡ ἀρχαιότης οὖν τῆς Μουσικῆς καταφαίνεται ἔν τε τῇ Παλαιᾷ Γραφῇ, καὶ ἐν τῇ Ἑλληνικῇ Ἱστορίᾳ.

§. 2. Καὶ ὅτι μὲν ἡ καθ' ἡμᾶς Ἐκκλησιαστικὴ Μουσικὴ, αὐτή ἐστιν ἡ τῶν ἀρχαίων Ἑλλήνων Μουσικὴ, ἐκ τῶν λεχθησομένων ἑπομένως δειχθήσεται· ἤδη δὲ ἀναδραμόντες εἰς τοὺς παλαιτάτους αἰῶνας, εἴπωμέν τινα πρῶτον περὶ αὐτῆς τῆς καθ' Ἕλληνας Μουσικῆς, ἣν ἐκληρονομήσαμεν παρὰ τῶν προγόνων ἡμῶν, εἶτα δὲ καὶ περὶ τῆς καθ' Ἑβραίους, ὅπως ἴδωμεν καὶ αὐτοὺς οὐχ ἧττον τῶν ἄλλων Ἐθνῶν καλλιεργοῦντας τὴν Μουσικήν· καὶ μελετῶντες τὴν Ἐκκλησιαστικὴν Ἱστορίαν, προχωρήσωμεν ἄχρι τῶν καθ' ἡμᾶς χρόνων, ἵνα ἴδωμεν, ὅτι ἐν τῇ θεοκτίστῳ Κιβωτῷ τῆς Ὀρθοδόξου Ἐκκλησίας τοῦ Χριστοῦ διεσώθη καὶ ἡ Ἑλληνικὴ τῶν ἡμετέρων ἐνδόξων προγόνων Μουσικὴ, ὡς καὶ ἡ γλῶσσα αὐτῶν, τὰ δύο ταῦτα συμφυῆ καὶ οἷον συνδεδεμένα πρὸς ἄλληλα.

§. 3. Ἐν πρώτοις οὖν δόντες τὸν ὁρισμὸν τῆς Μουσικῆς τέχνης, θεωρήσωμεν ἔπειτα διὰ βραχέων τὰ ἑξῆς. Α'. Πότε καὶ τίνες τῶν ἀρχαίων ἐμάνθανον αὐτήν. Β'. Περὶ τῶν ἐνεργειῶν αὐτῆς. Γ'. Πῶς ἐκαλοῦντο οἱ Μουσικοί. Δ'. Ὅτι Μουσικῇ ἐχρῶντο οἱ ἀρχαῖοι ᾄδοντες διάφορα μνήμης ἄξια. Ε'. Περὶ Ὕμνων, καὶ πῶς ἄλλως ἐκαλοῦντο αὐτοί. Ϛ'. Ὅτι ἐτέλουν τὰς Ὠδὰς ἢ διὰ φωνῆς, ἢ δι' ὀργάνων, ἢ καὶ δι' ἀμφοτέρων, καὶ ποῖα τὰ ὄργανα. Ζ'. Ἐν πόσαις χορδαῖς καὶ διὰ τίνος αὗται ἐκρούοντο. Η'. Ὅτι συνῆπτον οἱ ἀρχαῖοι τὴν Μουσικὴν μετὰ τῆς ὀρχήσεως καὶ ἐν πότοις, καὶ ἐν χοροῖς, καὶ ἐν γάμοις, καὶ ἐν ἄλλοις. Θ'. Τίνι ἁρμονίᾳ ἐχρῶντο ἐν τῷ Τραγικῷ χορῷ. Ι'. Πόσα εἴδη ἤθους μελοποιΐας. ΙΑ'. Περὶ τοῦ ἀρχαίου συστήματος τῆς διὰ σημείων παραστάσεως.

§. 4. Ἡ Μουσικὴ ὁρίζεται παρ' Ἀριστείδῃ (1), « Ἐπιστήμη μέλους, καὶ τῶν περὶ μέλος συμβαινόντων ». Καὶ ἄλλοι δὲ διάφοροι ὁρισμοὶ φέρονται παρὰ Βακχείῳ (2), καὶ παρὰ Σέξτῳ (3). Ὁ δὲ Πλάτων οὕτως ὁρίζει τὴν Μουσικήν· « Μουσική ἐστι τρόπων μίμημα βελτιόνων, ἢ χειρόνων ἀνθρώπων » (4). Ὁ δὲ πρῶ-

(1) Περὶ Μουσικ. Βιβλ. Α'. σελ. 1. (2) Εἰσαγωγ. Μουσικ. σελ. 1. (3) Πρὸς Μουσ. σελ. 356. (4) Νόμ. Ζ'.

τος περὶ Μουσικῆς γράψας ἐστὶν, ὡς φησι Σουΐδας ἐν λ—ι Λάσος Χαρίνου Ἑρμιονεὺς, πόλεως τῆς Ἀχαΐας, γεγονὼς κατὰ τὴν ΝΗ'. Ὀλυμπιάδα· Πρῶτος οὗτος περὶ Μουσικῆς ἔγραψε λόγον, καὶ Διθυράμβους εἰς ἀγῶνα εἰσήνεγκε, καὶ ἐριστικοὺς εἰσήγαγε λόγους ».

§. 5. Α'. Ἦν δὲ ἡ Μουσικὴ συνήθης καὶ φίλη τοῖς πάλαι Ἥρωσιν, ἣν καὶ ἐκ παίδων ἐσπούδαζον, ὡς τοῦτο γίνεται δῆλον ἔκ τε Ἡρακλέους καὶ Ἀχιλλέως καὶ Ἠετίωνος βασιλέως τῶν Θηβῶν, καὶ ἐκ τοῦ Χείρωνος καὶ ἄλλων. Ἐφεξῆς δὲ καὶ ἐν τοῖς μετέπειτα χρόνοις οἱ τὰ πρῶτα φέροντες ἐν ταῖς πόλεσι περὶ πολλοῦ ἐποιοῦντο τὴν σπουδὴν τῆς Μουσικῆς· διὸ καὶ τοὺς ἐν τοῖς πολιτικοῖς μὲν πράγμασιν ὄντας, ἀδαεῖς ὅμως τῆς Μουσικῆς, ἐχλεύαζον οἱ ταύτης εἰδήμονες, ὡς ἐκ Θεμιστοκλέους δηλοῦται, ὅς τις, κατὰ Πλούταρχον (1), «τὰς πρὸς ἡδονήν τινα καὶ χάριν ἐλευθέριον σπουδαζομένας τῶν παιδεύσεων, ὀκνηρῶς ἐκμανθάνων καὶ χλευαζόμενος ἐπὶ τούτῳ ὑπὸ τῶν πεπαιδεῦσθαι δοκούντων, ἠναγκάζετο φορτικώτερον ἀμύνεσθαι, λέγων, ὅτι λύραν μὲν ἁρμόσασθαι, καὶ μεταχειρίσασθαι ψαλτήριον οὐκ ἐπίσταται, πόλιν δὲ, μικρὰν καὶ ἄδοξον παραλαβὼν, ἔνδοξον καὶ μεγάλην ἀπεργάσασθαι ». Λέγεται δὲ, ὅτι καὶ Πυθαγόρας ἐγκρατὴς ἦν τῆς Μουσικῆς, ὡς Ἰάμβλιχος ἐν βίῳ Πυθαγόρου φησί (2). Καὶ Σωκράτης δὲ αὐτὸς ἐν γήρᾳ κιθαρίζειν ἐμάνθανε πρὸς Κόννον φοιτῶν τὸν Μουσικόν· σκωφθεὶς δὲ ὅτι γέρων ἤδη ὢν καθαρίζει, κρεῖττον, εἶπεν, ὀψιμαθῆ εἶναι ἢ ἀμαθῆ (3). Περὶ τούτου καὶ Πλάτων ἐν Εὐθυδήμῳ λέγει· « Ὥσπερ Κόννῳ τῷ Μητροβίου τῷ κιθαριστῇ, ὃς ἐμὲ (τὸν Σωκράτην) διδάσκει ἔτι καὶ νῦν καθαρίζειν ». Μέμνηται δὲ αὐτοῦ καὶ ἐν τῷ Μενεξένῳ. Καὶ αὐτὸς δὲ ὁ Πλάτων φαίνεται παραδεχόμενος τὴν Μουσικὴν, ἐν οἷς φησι, « Λύρας δὲ ἅψασθαι, τρία μὲν ἔτη καὶ δέκα γεγονόσιν ἄρχεσθαι μέτριος χρόνος· ἐμμεῖναι δὲ ἕτερα τρία, καὶ μήτε πλείω τούτων, μήτε ἐλάττω » (4). Καὶ τὸν μέγαν δὲ Ἀλέξανδρον καὶ ἔτι ἀρχαιότερον αὐτοῦ τὸν Ἡρακλέα, Αἰλιανὸς ἱστορεῖ, παῖδας ἔτι ὄντας Μουσικῆς ἅψασθαι. « Καὶ τὸν μὲν Ἡρακλέα ἀποκτεῖναι τῷ πλήκτρῳ τὸν διδάσκαλον Λίνον, ὡς χαλεπήναντα πρὸς αὐτὸν, ἀμουσότερον τοῦ ὀργάνου ἁπτόμενον· τὸν δὲ Ἀλεξάνδρου διδάσκαλον γινώσκοντα ἐξ ἱστορίας τὸ πάθος τοῦ Λίνου, δεῖσαι μὴ

(1) Ἐν Βίῳ Θεμιστοκλ. (2) Κεφ. ΚΗ'. (3) Σουΐδ. ἐν λ— (4) Νόμ. Ζ'.

τῆς ἐκείνου πειράσηται τύχης, διότι ἐπετίμησε τὸν μαθητὴν μὴ θελήσαντα κροῦσαι, ἣν ἐκέλευσεν αὐτῷ χορδὴν σὺν μέλει, καὶ ἣν ἀπήτει τὰ κιθαρίσματα ». Ὁ δὲ Ἀριστοτέλης ὑποδείκνυσι καὶ ὅπως δεῖ τοὺς νέους χρῆσθαι τῇ Μουσικῇ (1). Ἐν γένει δὲ πάντες οἱ ἀρχαῖοι Ἕλληνες περὶ πολλοῦ ἐποιοῦντο τὴν Μουσικὴν, ὡς φησι Πλούταρχος (2), καὶ Λουκιανὸς (3), καὶ Ἀθήναιος (4), καὶ ἄλλοι. Διὸ καὶ οἱ Μιτυληναῖοι, ὅτε τῆς θαλάσσης ἤρξαν, τοιαύτην ὑπέβαλον ζημίαν εἰς τοὺς ἀφισταμένους τῶν συμμάχων, ὥστε μὴ διδάσκειν τοὺς παῖδας αὐτῶν Μουσικὴν, ὡς Αἰλιανὸς ἱστόρηκε (5). Καὶ Κρῆτες, ὡς ὁ αὐτὸς λέγει, τοὺς παῖδας τοὺς ἐλευθερίους μανθάνειν τοὺς νόμους ἐκέλευον μετά τινος μελῳδίας, ἵνα ἐκ τῆς μουσικῆς ψυχαγωγῶνται, καὶ εὐκολώτερον αὐτοὺς τῇ μνήμῃ διαλαμϐάνωσι. Μᾶλλον δὲ πάντων τῶν ἄλλων Ἑλλήνων ἐτίμων τὴν Μουσικὴν οἱ Ἀρκάδες, κατὰ τὸν Πολύϐιον, « ὥστε μὴ μόνον ἐν παισὶν οὖσιν, ἀλλὰ καὶ νεανίσκοις γενομένοις ἐπὶ τριάκοντα ἔτῶν, κατ' ἀνάγκην σύντροφον (τὴν Μουσικὴν) ποιεῖν αὐτῶν » (6). Ἐχρῶντο δὲ αὐτῇ καὶ Ἀθηναῖοι, περὶ ὧν Ἀριστοφάνης ἐν Νεφέλαις φησί (7).

Δ. Λ. « Λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν, ὡς διέκειτο,
Ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη νενόμιστο·
Πρῶτον μὲν ἔδει παιδὸς φωνὴν γρύζαντος μηδὲν ἀκοῦσαι·
Εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως ἐς κιθαριστοῦ
Τοὺς κωμήτας γυμνούς . . . . . .
. . . . . .
. . . . . .
Ἐντειναμένους τὴν ἁρμονίαν, ἣν οἱ πατέρες παρέδωκαν ».

§. 6. Β'. Λογίζεται δὲ ἡ Μουσικὴ, ὅτι ἐστὶ τὸ πρεσϐύτατον τῶν ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου ἐπιχειρημάτων, ὡς ἱκανὴ δοκοῦσα, ἵνα καὶ ὀργὰς καὶ πένθη παύῃ, καὶ προσελκύῃ τοὺς κεχηνότας ταῖς ἡδοναῖς. Ὅθεν καὶ ὁ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης φησίν· « Οὕτω γοῦν ἡμῶν ἡ φύσις πρὸς τὰ ἄσματα καὶ τὰ μέλη οἰκείως ἔχει, ὡς καὶ τὰ ὑπομάζια παιδία κλαυθμυριζόμενα καὶ δυσχεραίνοντα οὕτω κατακοιμίζεσθαι. Αἱ γοῦν τίτθαι ἐν ταῖς ἀγκάλαις αὐτὰ βαστάζουσαι, πολλάκις ἀπιοῦσαί τε καὶ ἐπανιοῦσαι, καί τινα αὐτοῖς κατεπάδουσαι ἄσματα παιδικὰ, οὕτως αὐτῶν

(1) Πολιτικ. Βιϐλ. Η'. Κεφ. Ε'. (2) Περὶ Μουσικ. (3) Περὶ Ὀρχήσ. (4) Βιϐλ. ΙΕ'. (5) Ποικίλ. Ἱστ. Βιϐλ. Ζ'. Κεφ. ΝΕ'. (6) Βιϐλ. Δ'. (7) Στίχ. 961—968.

τὰ βλέφαρα κατακοιμίζουσι. Διὰ τοῦτο καὶ ὁδοιπόροι πολλάκις κατὰ μεσημβρίαν ἐλαύνοντες ὑποζύγια, ᾄδοντες τοῦτο ποιοῦσι, τὴν ἐκ τῆς ὁδοιπορίας ταλαιπωρίαν ταῖς ᾠδαῖς ἐκείναις παραμυθούμενοι· ἀλλὰ καὶ γηπόνοι ληνοβατοῦντες, καὶ τρυγῶντες, καὶ ἀμπέλους θεραπεύοντες, καὶ ἄλλο ὁτιοῦν ἐργαζόμενοι, πολλάκις ᾄδουσιν » (1). Ἀλλὰ καὶ περὶ τοῦ Ἀχιλλέως, ὅστις, ὡς προείρηται (§. 1.), διὰ τῆς μουσικῆς κατεπράϋνε τὸν χόλον αὐτοῦ, φέρεται μαρτυρία καὶ παρ' Ἀθηναίῳ (2) οὕτως ἐπὶ λέξεως λέγοντι· « Μέγας γὰρ, ὦ μακάριοι, κατὰ τὸν Θεοφίλου κιθαρῳδὸν, θησαυρός ἐστι καὶ βέβαιος ἡ Μουσικὴ ἅπασι τοῖς μαθοῦσι παιδευθεῖσί τε· καὶ γὰρ τὰ ἤθη παιδεύει, καὶ τοὺς θυμοειδεῖς, καὶ τὰς γνώμας διαφόρους καταπραΰνει. Κλεινίας γοῦν ὁ Πυθαγόρειος, ὡς Χαμαιλέων ὁ Ποντικὸς ἱστορεῖ, καὶ τῷ βίῳ καὶ τοῖς ἤθεσι διαφέρων, εἴποτε συνέβαινε χαλεπαίνειν αὐτὸν δι' ὀργὴν, ἀναλαμβάνων τὴν λύραν ἐκιθάριζε (3). Καὶ ὁ Ὁμηρικὸς δὲ Ἀχιλλεὺς τῇ κιθάρᾳ κατεπραΰνετο, ἣν αὐτῷ ἐκ τῶν Ἠετίωνος λαφύρων μόνην Ὅμηρος χαρίζεται, καταστέλλειν τὸ πυρῶδες αὐτοῦ δυναμένην· μόνος γοῦν ἐν τῇ Ἰλιάδι ταύτῃ χρῆται τῇ Μουσικῇ ». Οὕτω καὶ Δαβὶδ ὁ ποιητὴς τῶν ἱερῶν ᾀσμάτων τῇ μουσικῇ χρώμενος, ἐκ τῆς μανίας καθίστη τὸν βασιλέα, ὡς ὁ μέγας φησὶ Βασίλειος ἐν τῷ πρὸς τοὺς νέους Παραινετικῷ. Ὅτι δὲ ἡ Μουσικὴ καὶ τοὺς ταῖς ἡδοναῖς κεχηνότας, ὡς προειρέθη, δύναται προσελκύειν, παρὰ τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ Παραινετικῷ τοῦτο μανθάνομεν, λέγοντος· « Λέγεται δὲ καὶ Πυθαγόραν κωμασταῖς περιτυχόντα μεθύουσι, κελεῦσαι τὸν αὐλητὴν, τὸν τοῦ κώμου κατάρχοντα, μεταβαλόντα τὴν ἁρμονίαν, ἐπαυλῆσαί σφισι τὸ δώριον, τοὺς δὲ οὕτως ἀναφρονῆσαι ὑπὸ τοῦ μέλους, ὥστε, τοὺς στεφάνους ῥίψαντας, αἰσχυνομένους ἐπανελθεῖν ». Δυνατὴ δὲ ἡ Μουσικὴ, ἵνα καὶ θυμὸν ἐγείρῃ, καὶ καταπαύῃ καὶ μαλάττῃ πάλιν αὐτὸν, ὅπερ ἡ τοῦ Τιμοθέου κιθάρα εἰργάσατο, ἀναγκάσασα τὸν μέγαν Ἀλέξανδρον ἐπὶ τὰ ὅπλα ἀναπηδῆσαι διὰ τῆς συντόνου καὶ αὐστηρᾶς ἁρμονίας, καὶ ἐπαναγαγεῖν πάλιν πρὸς τοὺς συμπότας διὰ τῆς ἀνειμένης, ὡς ὁ αὐτὸς αὐτόθι Μ. Βασίλειος βεβαιοῖ, λέγων· « Ταύτῃ τοι καὶ Ἀλεξάνδρῳ ποτὲ τὸ Φρύγιον ἐπαυλήσαντα (τὸν Τιμόθεον), ἐξαναστῆναι αὐτὸν ἐπὶ τὰ ὅπλα λέ-

(1) Ὁμιλ. εἰς τὸν μά. ψαλμόν. (2) Βιβλ. ΙΔ'. Σελ. 623. (3) Ὅρ. καὶ Αἰλιαν. Ποικ. Ἱστ. Ζ'. ΟΖ'.

γεται μεταξὺ δειπνοῦντα, καὶ ἐπαναγαγεῖν πάλιν πρὸς τοὺς συμπότας τὴν ἁρμονίαν χαλάσαντα ». Καὶ Πλούταρχος δὲ ἐν τῷ περὶ τύχης Ἀλεξάνδρου, αὐτὸ τοῦτο λέγει ὅτι καὶ Ἀντιγενίδης ἐποίησε, τὸν Ἁρμάτειον ἐπάσας νόμον (1). Αὐτὸ τοῦτο ἔπαθε καὶ Ἱππόλυτος ὁ Καρδινάλιος ἐν Παννονίᾳ στρατευόμενος, ὡς μαρτυρεῖ Ἱερώνυμος ὁ Μάγιος (2). Θαυμαστὴ ἡ τῆς Μουσικῆς ἐνέργεια, ὅτι καὶ πρὸς θεραπείαν ἀσθενειῶν ἱκανή ἐστι, κατὰ τὸν Ἀθήναιον λέγοντα· « Τοὺς Ἰσχιακοὺς (3) ἀνόσους διατελεῖν, εἰ καταυλήσοι τις αὐτῶν τῇ φρυγιστὶ ἁρμονίᾳ » (4). Οὕτω καὶ Ἀντίγονος περὶ Θαυμασίων ἱστοριῶν λέγει· « Ἄξια δὲ ἐπίστασθαι τὰ εἰρημένα Θεοφράστῳ ἐν τῷ περὶ Ἐνθουσιασμῶν· Φησὶ γὰρ ἐκεῖνος τὴν Μουσικὴν πολλὰ τῶν περὶ τὴν ψυχὴν καὶ τὸ σῶμα γινομένων παθῶν ἰατρεύειν, καθάπερ λειποθύμους, φόβους καὶ τὰς ἐπὶ μακρὸν γινομένας ἐκστάσεις » (5). Ὁ δὲ Πυθαγόρας « ὑπελάμβανε τὴν Μουσικὴν μεγάλα συμβαλέσθαι καὶ πρὸς ὑγείαν, ἄν τις αὐτῇ χρῆται κατὰ τοὺς προσήκοντας τρόπους » (6). Ὥστε καί πως συντηρητικὴ τῆς ὑγείας φαίνεται ἡ Μουσική.

§. 7. Γ'. Οἱ Μουσικοί, οἵτινες καὶ Ἀοιδοὶ παρ' Ὁμήρῳ καλοῦνται, εἰς πᾶν εἶδος σοφίας ἐξησκοῦντο, ὡς δηλοῦται ἐκ τοῦ Φημίου, ὅστις ἐγίνωσκε πάντα

« Ἔργα ἀνδρῶν τε Θεῶν τε, τά τε κλείουσιν ἀοιδοί » (7).

Ὅθεν καὶ Φιλόσοφοι ἐπωνομάζοντο, καθὰ προείρηται (§. 1.). Ὁ δὲ Πίνδαρος καὶ Σοφιστὰς αὐτοὺς ὀνομάζει

« . . . . μελέταν Σοφισταῖς
Διὸς ἔκατι πρόσβαλλον σεβιζόμενοι ».

Ἔνθα ὁ Σχολιαστὴς, Σοφιστὰς, λέγει, καὶ σοφοὺς ἐκάλουν οἱ παλαιοὶ τοὺς Ποιητάς. Ἐὰν δὲ ἐπιτρέπηται, δυνάμεθα καὶ Σωφρονιστὰς ὀνομάσαι τοὺς Ἀοιδοὺς, κατὰ Στράβωνα λέγοντα, « Διὰ τοῦτο καὶ τοὺς παῖδας αἱ τῶν Ἑλλήνων πόλεις πρώτιστα διὰ τῆς ποιητικῆς παιδεύουσιν, οὐ ψυχαγωγίας χάριν δήπουθεν ψιλῆς, ἀλλὰ σωφρονισμοῦ· ὅπου γε καὶ οἱ μουσικοὶ ψάλλειν, καὶ αὐλεῖν, καὶ λυρίζειν διδάσκοντες, μεταποιοῦνται τῆς ἀρετῆς ταύτης· παιδευτικοί τε γὰρ εἶναί φασι καὶ ἐπανορθωτικοὶ τῶν ἠθῶν » (8). Μαρτυρεῖ δὲ καὶ Ἀθήναιος, ὅτι οἱ Μουσικοὶ ὑπῆρχον

(1) Νόμος ἁρμάτειος = μέλος πολεμικόν. Γαλλ. march. (2) Ποικίλ. Ἀναγν. Βιβλ. Δ'. Κεφ. ΙΓ'. (3) Ἐκ τοῦ ἰσχιὰς = πόνος (ῥευματισμὸς τῶν ἰσχίων). (4) Βιβλ. ΙΔ'. Σελ. 624. (5) Κεφ. 48—9. (6) Ἰάμβλ. ἐν βίῳ Πυθαγ. Κεφ. ΚΗ'. (7) Ὀδυσ. Α. 338. (8) Γεωγρ. Βιβλ. Α'. Κεφ. Β'.

τῆς τε σωφροσύνης καὶ πάσης ἀρετῆς διδάσκαλοι, λέγων· « Σῶφρον δέ τι ἦν τὸ τῶν Ἀοιδῶν γένος, καὶ φιλοσόφων διάθεσιν ἐπέχον » (1). Ὡς παράδειγμα δὲ τούτου φέρεται ὁ παρ' Ὁμήρῳ Ἄναξ ἀνδρῶν Ἀγαμέμνων, ὅστις, ὅτε εἰς Ἴλιον ἀπεδήμει, παρέλιπεν εἰς τὴν γυναῖκα αὐτοῦ Κλυταιμνήστραν « ἀοιδὸν φύλακα καὶ παραινετῆρα » (2), ὃν ὁ Αἴγισθος πρότερον ἀποκτείνας, εἶτα τὴν γυναῖκα διέφθειρεν· ἀδύνατον γὰρ ἦν αὐτῷ τοιοῦτον τολμῆσαι ἀνόσιον τόλμημα, ζῶντος τοῦ Ἀοιδοῦ, τοῦ τὴν φιλοτιμίαν τῆς γυναικὸς πρὸς τὰ καλὰ διεγείροντος, καὶ ταύτην ἀπὸ τῶν φαύλων λογισμῶν καὶ ἐνθυμήσεων ἀποτρέποντος.

§. 8. Δ'. Ἐχρῶντο δὲ τῇ Μουσικῇ ᾄδοντες θειά τε καὶ ἀνθρώπινα πράγματα. Οὕτως Ἑρμῆς

« Ἠῶος γεγονὼς, μέσῳ ἤματι ἐγκιθάριζεν,
. . . . . .
. . . . ἐρατὴ δέ οἱ ἕσπετο φωνὴ,
Κραίνων ἀθανάτους τε θεοὺς καὶ γαῖαν ἐρεμνὴν,
Ὡς τὰ πρῶτα γένοντο, καὶ ὡς λάχε μοῖραν ἕκαστος » (3).

Ὡσαύτως καὶ ὁ Ὀρφεὺς παρὰ τῷ Χείρωνι Κενταύρῳ ἔψαλλε περὶ τῆς ἀρχῆς τῶν ὄντων, καὶ περὶ τῶν ἀνέκαθεν ἀξιομνημονεύτων πραγμάτων. Παρὰ δὲ Θεοκρίτῳ (4) καὶ ἡ Ἑλένη ἐξυμνεῖ τὰς θεὰς,

« Ἄρτεμιν ἀοίδοισα, καὶ εὐρύστερνον Ἀθάναν ».

Ὁ δὲ Χείρων ὁ Κένταυρος ᾄδει περὶ τῆς μάχης τῶν Λαπιθῶν καὶ Κενταύρων· καὶ ὁ Ἀχιλλεὺς τέρπεται φρένα φόρμιγγι λιγείῃ, ᾀδων τὰ ἔνδοξα κατορθώματα τῶν ἀνδρῶν,

« Τῇ ὅγε θυμὸν ἔτερπεν, ἄειδε δὲ κλέα ἀνδρῶν » (5).

Ὁ δὲ Φήμιος ἔψαλλε περὶ τῆς τῶν Ἑλλήνων ἐκ τῆς Τρωάδος ἐπιστροφῆς,

« . . . . . Ὁ δ' Ἀχαιῶν νόστον ἄειδεν
λυγρὸν, ὃν ἐκ Τροίης ἐπετείλατο Παλλὰς Ἀθήνη » (6).

Καὶ ὁ Δημόδοκος δὲ, ὃν ὁ Ὅμηρος θεῖον ἀποκαλεῖ Ἀοιδὸν, μέλπει πρῶτον

« Νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλλῆος
Ὥς ποτε δηρίσαντο, θεῶν ἐν δαιτὶ θαλείῃ,
Ἐκπάγλοις ἐπέεσσιν . . . . . » (7).

---

(1) Βιβλ. Α'. (2) Ὀδυσ. Γ. 270. (3) Ὁμ. Ἳμν. εἰς Ἑρμ. 17, καὶ 426—8. (4) Εἰδυλ. ΙΗ'. (5) Ὁμ. Ἰλ. Ι. 189. (6) Ὀδυσ. Α. 326. (7) Αὐτόθι Θ. 75.

Ὁ δ' αὐτὸς ᾄδει τὴν τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης κλεψιγαμίαν,

« Ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισιν
Λάθρη . . . . . » (1).

Ἑπομένως δὲ καὶ τὰ περὶ τοῦ Δουρείου Ἵππου, ἔνθα κεκλεισμένοι εἵατο ἄριστοι Ἀχαιῶν,

Ἤειδεν δ', ὡς ἄστυ διέπραθον υἷες Ἀχαιῶν
Ἱππόθεν ἐρχόμενοι, κοῖλον λόχον ἐκπρολιπόντες » (2).

Ὅτι δὲ οἱ ἀρχαῖοι Ἕλληνες ἔμελπον τὰ μνήμης ἄξια, μαρτυρεῖ αὐτὸς ὁ Ὅμηρος λέγων, ὅτι ἐπὶ μὲν τῇ ἐχέφρονι Πηνελόπῃ χαρίεσσα ἔσεται ᾠδὴ, ἐπὶ δὲ τῇ Κλυταιμνήστρᾳ « στυγερὴ ἀοιδὴ ἔσσετ' ἐπ' ἀνθρώπους » (3). Τὸ τοιοῦτον ἔθος, ἀπὸ τῶν ἀρχαιοτάτων ἐκείνων χρόνων ἀκολούθως καὶ μέχρις ἡμῶν διετηρήθη καὶ διατηρηθήσεται, τὸ ποιεῖν ᾄσματα ἐπὶ μεγάλων καὶ ἀξίων μνήμης συμβεβηκότων· καὶ τοιαῦτα ὑπάρχουσι παρ' ἡμῖν ἄπειρα Ἐθνικά τε καὶ ἰδιωτικά· Τὸ ἔθος τοῦτο ἐτηρεῖτο καὶ παρὰ τοῖς Λακεδαιμονίοις, καὶ ἦν ὡς εἰπεῖν ἱερὸν παρ' αὐτοῖς, ὥς φησιν Ἀθήναιος· « Τηροῦσί γε νῦν τὰς ἀρχαίας ᾠδὰς ἐπιμελῶς· πολυμαθεῖς τε εἰς ταύτας εἰσὶ καὶ ἀκριβεῖς » (4)· ἀλλὰ δυσχεραίνει πως, ὅτι ἕνεκα τῆς τῶν Ἑλλήνων ἀκολασίας παρεφθάρη ἡ ἀρχαία μουσική· διὸ καὶ εὔχεται, ἵνα δι' ᾠδῆς ἄγωνται οἵ τε τῶν θεῶν ὕμνοι καὶ αἱ τῶν Ἡρώων ἀνδραγαθίαι κατὰ τὴν ἀρχαιοτάτην συνήθειαν. Ταύτας τὰς πρὸς τοὺς θεοὺς καὶ τοὺς Ἥρωας ἀναπεμπομένας ᾠδὰς ἔψαλλον ἐν ταῖς ἐπιφανεστέραις μάλιστα τῶν θεῶν ἱεροτελεστίαις, ὡς τοῦτο φανερόν ἐστιν ἐκ τοῦ εἰς τὸν Ἀπόλλωνα Ὕμνου, ἔνθα λέγονται Ἑλκεχίτωνες Ἰάονες σύν σφισι τέκνοις καὶ γυναιξὶν ἀγειρόμενοι ἐν τῇ νήσῳ Δήλῳ, τὸν Ἀπόλλωνα ἐν ᾠδαῖς ἐπιτέρπειν, καὶ μάλιστα πρὸ τῶν ἄλλων

« Κοῦραι Δηλιάδες, Ἑκατηβολέταο θεράπναι·
Αἵ τ' ἐπεὶ ἄρ' πρῶτον μὲν Ἀπόλλων' ὑμνήσωτιν,
Αὖτις δ' αὖ Λητώ τε καὶ Ἄρτεμιν ἰοχέαιραν
Μνησάμεναι, ἀνδρῶν τε παλαιῶν ἠδὲ γυναικῶν
Ὕμνον ἀείδουσιν, θέλγουσι δὲ φῦλ' ἀνθρώπων.
. . . . . .
. . . . . .
. . . . . Οὕτω σφιν καλὴ συνάρηρεν ἀοιδή » (5).

---

(1) Αὐτόθ. 267. (2) Αὐτόθ. 514. (3) Αὐτόθ. Ω. 198. (4) Βιβλ. ΙΔ'. (5) Ομ. Ὕμν. εἰς Ἀπόλλ. 459—64.

Τὸ δὲ τοιοῦτον τῶν ᾀσμάτων εἶδος, Ὕμνοι παρὰ τοῖς ἀρχαίοις καλούμενον, ὁ Θεόκριτος Ἀθανάτων γέρας ἐπονομάζει.

§. 9. Ε'. Ὁρίζεται δὲ ὁ Ὕμνος οὑτωσίν· Ὕμνος ἐστὶν εὐχὴ πρὸς Θεὸν (1), ἢ ἔπαινος (2). Λέγεται δὲ ἀπὸ τοῦ εἰς ὑπόμνησιν καὶ μνήμην ἄγειν τὰς πράξεις τῶν ὑμνουμένων· Φασὶ δὲ πρῶτον ἐκ Σιδῶνος ἐλθεῖν τοὺς ὕμνους (3)· ἄλλοι δὲ νομίζουσιν εὑρετὴν αὐτῶν τὸν ἐκ τῆς ἐν Σικελίᾳ πόλεως Ἱμέρας περίφημον Λυρικὸν ποιητὴν Στησίχορον (4). Ἐκάλουν δὲ τοὺς ὕμνους καὶ Νόμους, ὡς Ἀριστοφάνης λέγει, « Ξεναυλίαν κλαύσωμεν Ὀλύμπου Νόμον » (5). Ἔψαλλον δὲ αὐτοὺς μετὰ κιθάρας καὶ αὐλῶν· διὸ καὶ Κιθαρῳδικοὶ ἐκαλοῦντο Νόμοι καὶ Αὐλητικοί. Τοῦ δὲ Αὐλητικοῦ Νόμου λέγει ὁ Πλούταρχος ὅτι εὑρετὴς ὑπῆρξεν ὁ Κλέων (6). Ἀκολούθως δὲ Νόμοι ἐκλήθησαν οἱ τρόποι (ἦχοι), καθ' οὓς ᾄδομεν, ὡς Σουΐδας ἐν λ— « Ἀπόλλων, φησὶ, μετὰ τῆς λύρας κατέδειξε τοῖς ἀνθρώποις νόμους, καθ' οὓς ζήσονται ἅμα τῷ μέλει, τὸ κατ' ἀρχὰς αὐτοῖς θηριῶδες, εὐπρόσιτον τῇ ῥυθμοῦ ἡδύτητι ποιῶν· καὶ ἐκλήθησαν Νόμοι Κιθαρῳδικοί· ἐκεῖθεν δὲ σεμνολογικῶς, ὡς καὶ Ἀριστοτέλης δοκεῖ, Νόμοι καλοῦνται οἱ Μουσικοὶ τρόποι, καθ' οὓς τινας ᾄδομεν »· Εἶχον δὲ οἱ Ὕμνοι διάφορα ὀνόματα. Οἱ μὲν πρὸς τὴν μητέρα τῶν θεῶν ᾀδόμενοι, ἐκαλοῦντο Μητρῳακοί· οἱ δὲ πρὸς τὸν Ἀπόλλωνα, Παιᾶνες καὶ Ὑπορχήματα· οἱ δὲ εἰς Ἄρτεμιν, Ὑπιγγοι, ἢ Οὔπιγγοι· οἱ εἰς Διόνυσον, Διθύραμβοι, ἢ Ἰόβακχοι· οἱ τῆς Δήμητρος, Ἴουλοι, καὶ οἱ τοῦ Ἑρμοῦ, Πρόσοδοι. Ἐκ τῶν ὕμνων ἐγκρίνεται ὁ τοῦ Ἀπόλλωνος, ἐξ οὗ καὶ οἱ λοιποὶ Παιᾶνες ἐκλήθησαν (7). Οἱ Ὕμνοι παρὰ τοῖς ἀρχαίοις ᾖδοντο καὶ ἐν ταῖς σπονδαῖς καὶ μετὰ τὰς σπονδάς. Οἱ δὲ Ἀρκάδες, κατὰ Ἀθήναιον (8), Παιᾶνας ἔψαλλον μετὰ τὰς σπονδάς. Οὕτω καὶ παρ' Ὁμήρῳ, οἱ ἐν Τροίᾳ Ἕλληνες, μετὰ τὴν δημοτελῆ θυσίαν, ἣν προσήνεγκον εἰς τὸν Ἀπόλλωνα, ἐπανήρχοντο εἰς τὸ στρατόπεδον, « καλὸν ἀείδοντες Παιήονα» (9). Ἔψαλλον δὲ εἰς τὸν Ἀπόλλωνα καὶ τοὺς ἰδίως καλουμένους Νόμους, οἵτινες ἀπ' αὐτοῦ ἔλαβον τὴν κλῆσιν· νόμιμος γὰρ ὁ Ἀπόλλων (10). Περιεῖχε δὲ ὁ Νόμος Ἱκετείας, καὶ

(1) Πλάτ. Νόμ. Γ'. (2) Μένανδρ. Ῥητορ. πρὸς Γενέθλιον περὶ Ἐπιδεικτικῶν κεφ. ά. (3) Εὐσέβ. Εὐαγγ. Προπαρ. βιβλ. ά. (4) Κλήμ. Στρωμ. ά. (5) Ἱππ. 19. (6) Περὶ Μουσικ. (7) Κλήμ. Στρωμ. γ'. (8) Βιβλ. Δ'. (9) Ομ. Ἰλ. Λ. 473. (10) Πρόκλ. παρὰ Φωτ. Κωδ.

ιή.

ἐδήλου τὴν πρὸς τὸν δράκοντα μάχην τοῦ Ἀπόλλωνος, ἁρμοζόμενος τῇ Λυδίᾳ ἁρμονίᾳ (1).

§. 10. Γ'. Ἡ δὲ Ὠδὴ ἐτελεῖτο ἢ διὰ τῆς φωνῆς, ἢ διὰ τῶν ὀργάνων, ἄτινα καὶ μουσικὰ ὄργανα λέγονται, ἢ καὶ δι' ἀμφοτέρων. Οἱ Ἕλληνες εἶχον δύο μόνον εἴδη μουσικῆς, αὐλησιν καὶ κιθάρισιν, ὥστε ἐκ τῶν ὀργάνων τὰ μέν εἰσι φωνητικὰ, οἷον, αὐλὸς, σύριγξ, κάλαμος (2), τὰ δὲ ἐντατὰ, ὡς διὰ χορδῶν ἐντεινόμενα, οἷον, Κιθάρα ἢ κίθαρις, φόρμιγξ, λύρα, ἣν Ὅμηρος μίαν καὶ τὴν αὐτὴν ἐμφαίνει λέγων, « φόρμιγγι κιθαρίζειν » (3), καὶ, «λύρῃ κιθαρίζειν» (4). Κατὰ δὲ τὸν Εὐστάθιον, καὶ Χέλυς ἐκαλεῖτο πᾶσα κιθάρα. Ἐν γένει δὲ, τὰ τῆς Μουσικῆς ὄργανα τρία ἦσαν παρὰ τοῖς Ἕλλησι, Σύριγξ, Αὐλὸς καὶ Κιθάρα. Ἦν δὲ ἡ σύριγξ καὶ μονοκάλαμος, ἧς εὑρετὴς ὁ Ἑρμῆς λέγεται (5), καὶ πολυκάλαμος, ἧς τὴν εὕρεσιν τῷ Σειληνῷ ἀποδιδόασι (6). Τῆς δὲ κιθάρας εὑρετὴν λέγουσι τὸν Ἀπόλλωνα· ἀλλά τινες ἐν Ἀσίᾳ εὑρεθῆναι τὴν κιθάραν ὁμολογοῦσιν (7), ὡς Εὐριπίδης ἐν Κύκλωπι (8) λέγει,

« Ἀσιάδος οὐκ ἂν ἥδιον ψόφον
Κιθάρας κλύοιμεν . . . »

Ὁ δὲ αὐλὸς λέγουσιν ὅτι εὕρημά ἐστι τῆς Παλλάδος Ἀθηνᾶς,

« Ὡς εὗρε Πλαγίαυλον Πὰν, ὡς αὐλὸν Ἀθήνη » (9).

Διὸ καὶ Πλούταρχος λέγει, ὅτι παρ' αὐτῆς ἔμαθον οἱ Μουσικοὶ αὐλεῖν (10)· ἀλλ' ὁ αὐτὸς καὶ τὸν Ἀπόλλωνα λέγει εἰδήμονα τῆς αὐλητικῆς, « οὔτε γὰρ Μαρσύου, ἢ Ὀλύμπου, ἢ Ὑάγιδος, ὥς τινες οἴονται, εὕρημα ὁ αὐλός· οὐ μόνη δὲ κιθάρα Ἀπόλλωνος, ἀλλὰ καὶ αὐλητικῆς καὶ κιθαριστικῆς ὁ Θεός » (11). Ἦν δὲ ὁ αὐλὸς κάλαμος διατετρημένος ὀπαῖς, καὶ ἔχων οὕτω τεχνικὴν κλίμακα. Κατεσκευάζοντο δὲ οἱ αὐλοὶ ἐκ νεβρείων ὀστέων, Νέβρειοι αὐλοὶ καὶ ὀστέϊνοι καλούμενοι (12), ὧν εὑρετὰς τοὺς Θηβαίους λέγει Ἀθήναιος (13), ὡς καὶ παρ' Ἀριστοφάνει ἐν Ἀχαρνεῦσι λέγεται,

« Ὑμεῖς δ' ὅσοι Θήβαθεν αὐληταὶ πάρα
Τοῖς ὀστείνοις φυσᾶτε . . . . . »

---

(1) Αὐτόθ. (2) Ἰλ. Κ. 13. (3) Αὐτόθ. Σ. 569. (4) Ὁμ. Ὕμν. εἰς Ἑρμ. 422. (5) Αὐτόθ. 509. (6) Ἀθήν. Βιβλ. Δ'. 7 Στέφ. ἐν λ— Ἀσία. (8) Στίχ. 442. (9) Βίων Εἰδυλλ. γ'. στίχ. 7. (10) Περὶ Μουσικ. (11) Αὐτόθ. (12). Ἀντίπατρ. ἐν Ἐπιγρ. Βιβλ. δ'. κεφ. κζ'. καὶ Πολυδ. Βιβλ. δ'. κεφ. ριγ'. (13) Βιβλ. δ'.

Οἱ αὐλοί ἦσαν πολλῶν εἰδῶν, καὶ ἄλλοι μὲν ἐκαλοῦντο Τυῤῥηνοί, ἄλλοι δὲ κατ' ἄλλα διάφορα ὀνόματα (1). Ὁ δὲ Φιλόστρατος λέγει, « αὐτὸς ἐργάζεται ὁ αὐλὸς, διὰ τὸ χρυσοῦ τε καὶ ὀρειχάλκου καὶ ἐλάφων κνήμης ξυγκεῖσθαι » (2).

§. 11. Ζ'. Τὰ δὲ ἐντατὰ ὄργανα ἐν ἑπτὰ χορδαῖς ἐνετείνοντο, ἐξ ἐντοσθίων προβάτου κατασκευαζομέναις. Διὸ καὶ Ὅμηρος « Ἐϋστρεφὲς ἔντερον οἷος ὀνομάζει τὴν χορδήν (3)· ἀλλ' ἐν Ἰλιάδος Σ. (570) ἔνθα φέρεται, « λίνον δ' ὑπὸ καλὸν ᾄειδε », λέγει ὁ Σχολιαστὴς ὅτι καὶ ἐκ λίνου κατεσκευάζετο ἡ χορδή (4). Ἑπτὰ μὲν οὖν χορδαὶ ὑπῆρχον, καθ' Ὅμηρον, εἰς τὴν ὑπὸ τοῦ Ἑρμοῦ κατασκευασθεῖσαν Χελώνην,

Ἑπτὰ δὲ συμφώνους οἰῶν ἐτανύσσατο χορδάς » (5).

Ὡσαύτως δὲ καὶ ὁ περὶ τὴν μ'. Ὀλυμπιάδα ἀκμάσας (6) λυρικὸς ποιητὴς Τέρπανδρος Ἀρναῖος ἢ Λέσβιος, ἀπόγονος Ἡσιόδου, ἢ κατ' ἄλλους Ὁμήρου, οὗ τινος τὰς ᾠδὰς ἔψαλλον οἱ Λακεδαιμόνιοι εἰς τὰ συσσίτια αὐτῶν, πρῶτος ἑπτάχορδον κατεσκευάσατο φόρμιγγα, ἥτις ἐπὶ Πινδάρου φαίνεται ὅτι ἦν ἐν χρήσει, διότι καὶ οὗτος « Φόρμιγγα ἑπτάτυπον » (7), καὶ « ἑπτάγλωσσον » (8) ὀνομάζει. Ἡ κλίμαξ αὐτῆς συνέκειτο ἐκ μιᾶς διαπασῶν καταλειπομένου φθόγγου. Ἡ προσθήκη τούτου τοῦ καταλειπομένου φθόγγου, ἥτις ἀναφέρεται εἰς τὸν Λυκάονα, ἢ τὸν Πυθαγόραν, ἀπετέλει ὀκτάχορδον λύραν, ἔχουσαν κλίμακα τελείαν διαπασῶν. Ὁ Τέρπανδρος οὗτος ἔγραψε πρῶτος καὶ Νόμους λυρικούς. Ἀλλὰ Φρύνις, λέγουσιν, ὁ Μιτυληναῖος, ἀκμάσας περὶ τὸ 432 Π. Χ. καὶ κατηγορούμενος ὅτι ἐξεθήλυνε τὴν παλαιὰν ἀνδρώδη μουσικὴν, πλείοσι τῶν ἑπτὰ χορδαῖς ἐχρήσατο (9). Ὁ δὲ Τιμόθεος, ὁ ἐκ Μιλήτου, καὶ αὐτὸς λυρικὸς ποιητὴς, υἱὸς Θερσάνδρου, ἢ Νεομύσου, ἢ Φιλοπόλιδος, σύγχρονος τοῦ Εὐριπίδου, προσέθηκε τὴν δεκάτην καὶ ἑνδεκάτην χορδὴν, καὶ τὴν ἀρχαίαν Μουσικὴν ἐπὶ τὸ μαλακώτερον μετήγαγε. Τοῦτον οἱ Λακεδαιμόνιοι ἐξέωσαν διὰ ψηφίσματος, ἐλθόντα εἰς Λακεδαίμονα μετὰ κιθάρας ἑνδεκαχόρδου· διότι, ὡς γράφουσιν ἐν τῷ ψηφίσματι (10), « τὴν παλαιὰν μοῦσαν ἠτίμαζε, καὶ τὴν διὰ τῶν ἑπτὰ χορδῶν

(1) Πολυδ. βιβλ. δ'. κεφ. ὁ. οά. καὶ πά. καὶ Ἀθήν. βιβλ. ΙΕ'. (2) Ἐν βίῳ Ἀπολ. βιβλ. έ. κεφ. ζ'. (3) Ὀδυσ. Φ. 408. (4) Ὁ πρῶτος ἐφευρὼν τὴν χρῆσιν τῆς χορδῆς ἀντὶ τοῦ λίνου, λέγεται Λίνος ὁ τοῦ Ἡρακλέους διδάσκαλος (5) Ὕμν. εἰς Ἑρμ. 51. (6) Εὐσεβ. Χρον. (7) Πυθ. Β'. 70. (8) Νεμ. Ε'. (9) Προκλ. ἔνθ. ἀνωτ. (10) Κειμένῳ παρὰ Βοετίῳ βιβλ. ά. κεφ. ά.

κιθάρισιν ἀποστρεφόμενος, πολυφωνίαν εἰσάγων ἐλυμαίνετο τὰς ἀκοὰς τῶν νέων ». Ἔγραψεν ὁ Τιμόθεος ιθ'. νόμους μουσικοὺς, προοίμια λς', Ἄρτεμιν, Διασκευὰς, Διθυράμβους ιή. Ὕμνους καὶ ἄλλα τινά· ἐτελεύτησε δὲ ἐτῶν 97 (1). Λέγεται δὲ, ὅτι κατ' ἀρχαιοτάτους χρόνους ἐγινώσκετο ὄργανόν τι, Μάγαδις καλούμενον, ἔχον εἴκοσι χορδὰς, ὅπως ἐχρήσατο αὐτῇ Ἀνακρέων ὁ λυρικὸς ποιητὴς, ὧν αἱ δέκα ἦσαν εἰς τὸν διαπασῶν τόνον τῶν ἄλλων. Ἔκρουον δὲ τὰς χορδὰς διὰ πλήκτρου (2), ὡς ἐκ τοῦ ὕμνου τοῦ εἰς Ἑρμῆν δηλοῦται (3),

« Πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος, ἡ δ' ὑπὸ χειρὸς
Σμερδαλέον κονάβησε . . . . . »

Τοῦτο συνεχῶς ἐπαναλαμβάνει καὶ ὁ Λυρικὸς Πίνδαρος, καὶ ὁ Ἀνακρέων,

« Ἐλεφαντίνῳ δὲ πλήκτρῳ λιγυρὸν μέλος κροαίνων ».

Ὡς καὶ παρ' Οὐϊργιλίῳ (4)

« . . . καὶ πλήκτρῳ δὲ κροαίνει, τῷ ἐξ ἐλέφαντος ».

Ὅθεν καὶ Ἀριστοτέλης λέγει (5) « εἰ αἱ κερκίδες ἐκέρκιζον αὐταὶ, καὶ τὰ πλῆκτρα ἐκιθάριζεν ». Ὅτι δὲ τὸ πλῆκτρον οὐ πάνυ τι λεπτὸν ὑπῆρχε, δῆλον ἐξ ὧν Αἰλιανὸς λέγει, ὅτι ὁ Ἡρακλῆς τῷ πλήκτρῳ ἀπέκτεινε τὸν Λίνον, ὃς τὴν Μουσικὴν αὐτὸν ἐδίδασκε. Τοσαύτην παρατήρησιν εἶχον οἱ ἀρχαῖοι εἰς τὴν διὰ πλήκτρου κιθάρισιν, ὥστε οἱ Λακεδαιμόνιοι, ὡς ὁ Πλούταρχος μαρτυρεῖ, « ψάλτην ἐπιδημήσαντα ἐζημίωσαν, ὅτι δακτύλοις κιθαρίζει ». Συνῆπτον δὲ μετὰ τοῦ τῆς κιθάρας ἤχου καὶ τὸν τῆς φωνῆς, ὡς τοῦτο δηλοῦται ἐκ τοῦ εἰς τὸν Ἑρμῆν ὕμνου (6)

« . . . . τάχα δὲ λιγέως κιθαρίζων
Γηρύετ' ἀμβολάδην, ἐρατὴ δὲ οἱ ἔσπετο φωνή ».

Οὕτω καὶ ἐν Ἰλιάδος Α. (603—4), σὺν τῷ Ἀπόλλωνι τὴν περικαλλῆ φόρμιγγα αὐτοῦ κρούοντι, αἱ Μοῦσαι

« . . . . ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ ».

§. 12. Η'. Ἦν δὲ ἡ ᾠδὴ ἀχώριστος τῆς ὀρχήσεως, ὡς Πλάτων (7) τὴν Μουσικὴν ὁρίσας, « ταύτην εἶναί, φησιν, ἢ τῶν ᾀδόντων ἐπιστάμεθα ἐν τοῖς χοροῖς ἄρχειν », παραλαβὼν ἐξ Ὁμήρου, τὴν κιθάραν σύντροφον τῶν εὐωχουμένων λέγοντος (8),

« . . . . ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην ».

---

(1) Σουΐδ. ἐν λ—. (2) Πλῆκτρον λέγεται καὶ τὸ κοινῶς δεξάρι τῆς λύρας, καὶ τὸ Τσοχα. χεζράπι τοῦ ταμπουρίου κτλ. (3) Στίχ. 55. (4) Αἰνειάδ. ς'. 647. (5) Ἐν Α'. Πολιτικ. (6) Στίχ. 424. (7) Ἐν τῷ Θεαγένει. (8) Ὀδυσ. Ρ. 271.

Καὶ Πίνδαρος δέ φησιν (1)

« οἷα παίζομεν φίλην
ἀνδρες ἄμφὶ θαμὰ
Τράπεζαν . . . »

Ἐξ ὧν καταφανὲς γίνεται, ὅτι ὁ Ὅμηρος τό τε ᾄδειν καὶ ὀρχεῖσθαι ἀμφότερα σχεδὸν συνάπτει, καὶ μάλιστα ἐν ταῖς ἑστιάσεσιν, ἀναθήματα (καθωραΐσματα=στολίδια) αὐτῶν ὀνομάζων (2)

« Μολπὴ τ' ὀρχηστὺς, τὰ γὰρ τ' ἀναθήματα δαιτός ».

Ταῦτα καὶ ὁ Διογενειανὸς παρὰ Πλουτάρχῳ ἀκροάματα ὀνομάζει· Ἐπιμαρτυρεῖ δὲ καὶ Δίων ὁ Χρυσόστομος φάσκων, « Τοὺς μὲν ἄλλους ἀνθρώπους ἡ μέθη πρὸς ᾠδὴν τρέπει καὶ ὄρχησιν, παρ' ὑμῖν δὲ τοὐναντίον· ἡ γὰρ ᾠδὴ μέθην ἐμποιεῖ καὶ ὄρχησιν » (3). Ἐχρῶντο δὲ παρὰ πότον οἱ παλαιοὶ τῷ Σκολιῷ καλουμένῳ μέλει, ὃ καὶ Παροίνιον ἐλέγετο. Τοῦτο δὲ οὐχ οἱ τυχόντες, ἀλλὰ σοφοὶ ἄνδρες ᾖδον διὰ τούτου τὰ βιωφελῆ πράγματα, ὡς μαρτυρεῖ ὁ τοῦ Ἀριστοφάνους Σχολιαστὴς (4) λέγων· « Ὡς μὲν Δικαίαρχος (5) ἐν τῷ περὶ μουσικῶν ἀγώνων, ὅτι τρία γένη ἦν ᾠδῶν· τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ' ἕνα ἑξῆς, τὸ δὲ ὑπὸ τῶν συνετωτάτων ὡς ἔτυχε τῇ τάξει, ὃ δὴ καλεῖται Σκολιόν. Ὡς δὲ Ἀριστόξενος καὶ Φόλις ὁ μουσικὸς, ὅτι ἐν τοῖς γάμοις παρὰ μίαν τράπεζαν κλίνας τιθέντες παρὰ μέρος, ἑξῆς μυρρίνας ἔχοντες, ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα. Ἡ δὲ περίοδος σκολιὰ ἐγίνετο, διὰ τὴν θέσιν τῶν κλινῶν σκολιὰν οὖσαν ». Ἄλλοι ὅμως λέγουσιν (6), ὅτι τὸ Σκολιὸν μέλος « ἀπὸ τῶν μεθυόντων λέγεται, οἵπερ σκολιὰ ἔχουσι τὰ αἰσθητήρια, ἢ ὅτι προκατειλημμένων ἤδη τῶν αἰσθητηρίων, καὶ παρειμένων οἴνῳ τῶν ἀκροατῶν, τηνικαῦτα ἡ βάρβιτος (7) εἰσεφέρετο εἰς τὰ συμπόσια, καὶ διονυσιάζοντα ἕκαστον ἀκροσφαλῶς συγκόπτεσθαι περὶ τὴν προφορὰν τῆς ᾠδῆς· ὅπερ οὖν ἔπασχον αὐτοὶ διὰ τὴν μέθην, τοῦτο τρέψαντες εἰς τὸ μέλος, Σκολιὸν ἐκάλεσαν » (8). Ἦδον οὖν οἱ ἀρχαῖοι

---

[1] Ὀλυμπ. Α'. [2] Ὀδ. Α'. 152. [3] Λόγ. πρὸς τοὺς Ἀλεξανδρ. [4] Ἐν Βατράχ. 1337. [5] Ὁ Δικαίαρχος οὗτος ἦν υἱὸς Φειδίου Μεσσήνιος, μαθητὴς Ἀριστοτέλους, ῥήτωρ καὶ φιλόσοφος, ὃν ὁ Κικέρων ὀνομάζει ἱστορικώτατον. Ἔγραψε καὶ ἄλλα, ὧν μέμνηται Σέξτος, Σουΐδας καὶ Ἀθήναιος· Ἔτι δὲ καὶ Βιβλίον περὶ μουσικῶν ἀγώνων, οὗ ὁ τοῦ Ἀριστοφ. Σφολιαστὴς καὶ ἐν Σφηξὶ στίχ. 1190 μέμνηται. (6) Πρόκλ. ἔνθ. ἀνωτ καὶ Ἐτυμολ. ἐν λ— (7) Εἶδος μουσικοῦ πολυχόρδου ὀργάνου, λύρα, κιθάρα, λαγοῦτον. (8) Σκολιὸν ᾆσμα ἢ μέλος, εἶδος ᾠδῆς, τὴν ὁποίαν ἐτραγῳδοῦσαν μὲ τὴν λύραν εἰς τὰ συμπόσια, ὀνομασθείσης οὕτω διὰ τὴν σκολιότητα (τὸ ἄτακτον) τοῦ ῥυθμοῦ, ἢ διὰ τὸν τρόπον κατὰ τὸν ὁποῖον διεδέχοντο ἀλλήλους οἱ τραγῳδισταί. Λεξ. Σ. Βυζαντ.

χορεύοντες ἐν αὐλοῖς καὶ κιθάρᾳ, ὡς ὁ Λουκιανὸς λέγει (1), «ἐν Δήλῳ δέ γε οὐδὲ αἱ θυσίαι ἄνευ ὀρχήσεως, ἀλλὰ σὺν ταύτῃ, καὶ μετὰ μουσικῆς ἐγίνοντο. Παίδων χοροὶ συνελθόντες ὑπ' αὐλῷ καὶ κιθάρᾳ, οἱ μὲν ἐχόρευον κτλ.» Ἄνδρες δὲ καὶ γυναῖκες, καθ' Ὅμηρον, ἐχόρευον «ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες» (2). Ἔνθα φησὶν Εὐστάθιος, «φασὶ δὲ οἱ παλαιοί, ὅτι κεχωρισμένως χορευόντων τῶν πρὶν ἀνδρῶν τε καὶ γυναικῶν, πρῶτοι οἱ μετὰ Θησέως σωθέντες ἑπτὰ ἠίθεοι καὶ τοσαῦται παρθένοι, ἀναμὶξ ἐχόρευσαν ὑπὸ Καθηγητῇ τῷ Δαιδάλῳ κατὰ Κνωσσὸν πόλιν». Ἐχόρευον δὲ περὶ βωμοὺς ᾄδοντες σὺν φόρμιγγι, ὡς μαρτυρεῖ Ῥόδιος ὁ Ἀπολλώνιος λέγων (3).

«Οἱ δ' ὥστ' ἠίθεοι Φοίβῳ χορὸν . . . .
. . . . . .
Στησάμενοι φόρμιγγος περὶ βωμὸν ὁμαρτῇ
Ἐμμελέως κραιπνοῖσι πέδον ῥήσσωσι πόδεσσιν».

Οὕτω καὶ Καλλίμαχος ἐν ὕμνῳ εἰς Δῆλόν φησι (4)

«Πότνια σὸν περὶ βωμὸν ἐγειρομένου κιθαρισμοῦ
Κύκλιον ὠρχήσαντο . . . .»

Ἐξ οὗ περ δῆλον, ὅτι καὶ Κύκλιοι ἐκαλοῦντο οἱ χοροί, οὓς ὁ Ἀριστοφάνης, Εὔκυκλον χορείαν καλεῖ (5). Καὶ ἐν ἄλλοις δὲ ἡ ᾠδὴ ἐπεκράτει, οἷον, ἐν ταῖς τῶν Τρώων παρεμβολαῖς ἠκούετο «Αὐλῶν, συρίγγων τ' ἐνοπὴ» (6). Ὡσαύτως καὶ ἐν τοῖς ἀγροῖς ἐν καιρῷ τρυγητοῦ,

«Τοῖσιν δ' ἐν μέσοισι παῖς φόρμιγγι λιγείῃ
Ἱμερόεν κιθάριζεν . . . .» (7)

Ἀλλὰ καὶ οἱ νομεῖς διῆγον «τερπόμενοι σύριγξι» (8). Καὶ τὰ Θεοκρίτου δὲ Βουκολικὰ, καὶ τὰ Μόσχου, καὶ τὰ Οὐιργιλίου εἰς τοῦτο ἀνήκουσιν. Ἐν δὲ τοῖς γάμοις, ὀρχήσεως γενομένης ὑπὸ συμφωνίᾳ μουσικῶν ὀργάνων, ᾆσμα προσῄδετο ὁ ὑμέναιος, καθά φησιν Ὅμηρος (9),

«. . . πολὺς δ' ὑμέναιος ὀρώρει·
Κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
Αὐλοὶ, φόρμιγγές τε βοὴν ἔχον . . .»

Τοῦτον δὲ τὸν ὑμέναιον αἱ τῆς νύμφης φίλαι νεάνιδες κατ' ἐξοχὴν εἰώθεσαν ᾄδειν, κατὰ Πίνδαρον λέγοντα (10).

---

(1) Περὶ ὀρχήσ. (2) Ἰλ. Στίχ. 590—4. (3) Ἀργοναυτικ. Βιβλ. α. 536. (4) Στίχ. 343. (5) Ἐνθεσμοφοριαζ. 977. (6) Ἰλ. Κ. 13. (7) Αὐτόθ. Σ. 569. (8) Αὐτόθ. 526. (9) Αὐτόθ. 493. (10) Πύθ. Γ'.

« Οὐκ ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν·
οὐδὲ συμφώνων ἰαχὰν
ὑμεναίων· ἄλικες
οἷα παρθένοι φιλέοισιν ἑταῖραι
ἑσπερίαις ὑποκου-
ρίζεσθ' ἀοιδαῖς. »

Τὸ γαμήλιον τοῦτο ᾆσμα παρὰ Πολυδεύκει ὀνομάζεται Ὑμὴν καὶ Ὑμέναιος, ὅπερ καὶ Ῥωμαῖοι μετ' ἄλλων γαμηλίων ἐθῶν παρ' Ἑλλήνων παρέλαβον, ὡς Τερέντιος ἔχει ἐν Ἀδελφοῖς λέγων·

« Ὑμέναιον, θορύβους, λαμπάδας, αὐλῳδούς ».

Καὶ ἐκ τῶν προειρημένων δὲ καὶ ἐξ ὧν ἀλλαχοῦ Ὅμηρος λέγει, γίνεται φανερὸν, ὅτι οἱ ἀρχαῖοι συνῆπτον πάντοτε τὴν Μουσικὴν μετὰ τῆς ὀρχήσεως ἐν τοῖς γάμοις. Οὕτως ἐν τῷ τοῦ Μεγαπένθους γάμῳ (1),

« . . . μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
Φορμίζων· δοιὼ δὲ κυβιστῆρε κατ' αὐτούς,
Μολπῆς ἐξάρχοντες, ἐδίνευον κατὰ μέσσον. »

Καὶ ὅτε Ὀδυσσεὺς ἐλθὼν εἰς τὴν αὐτοῦ οἰκίαν, ὑπεκρίνετο ὅτι γάμους τελέσει ἰδίους, ἐκέλευσε θεῖον ἀοιδὸν, ἔχοντα φόρμιγγα λιγείην ἡγεῖσθαι φιλοπαίγμονος ὀρχηθμοῦ·

« . . . ὁ δ' εἵλετο θεῖος ἀοιδὸς
Φόρμιγγα γλαφυρὴν, ἐν δὲ σφισιν ἵμερον ὦρσεν
Μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο. » (2)

Καὶ Ἡσίοδος δὲ περιγράφων τὰ τῶν γάμων, λέγει· (3)

« Τοὶ μὲν ὑπαὶ λιγυρῶν συρίγγων ἔσαν ἀοιδὴν,
Αἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα ».

Ἀλλ' ἐν καιρῷ πένθους οὐ θέμις ἦν κιθάρᾳ χρῆσθαι, ὡς ἐκ τῶν τοῦ Αἰσχύλου ἐν Ἱκέτισι (689—94) φαίνεται. Καὶ ταῦτα μὲν περὶ τοῦ κοινοῦ χοροῦ.

§ 13. Θ'. Εἰς δὲ τὸν Τραγικὸν χορὸν ἐχρῶντο χορεύοντες αὐλοῖς καὶ ἁρμονίᾳ τῇ Μιξολυδιστὶ καὶ τῇ Δωρίῳ. Διὸ καὶ Πλούταρχος λέγει (4). « Τὴν δὲ Μιξολυδιστὶ ἁρμονίαν θρηνώδη καὶ Πλάτων ὠνόμασε (5). Καὶ ἡ Μιξολύδιος δὲ παθητική τίς ἐστι Τραγῳδίαις ἁρμόζουσα (6). Ἀριστόξενος δέ φησι Σαπφὼ πρώτην

(1) Ὀδ. Δ. 17. (2) Αὐτόθ. ψ. 145. (3) Ἡρακλ. Ἀσπ. 278 καὶ 280. (4) Περὶ Μουσικ. (5) Πλάτ. Πολιτ. γ'. (6) « Ἐν τοῖς χρόνοις τοῖς μετὰ τὴν ἅλωσιν Τροίης παρ' Ἕλλησιν ἐθαυμάζετο πρῶτος Θέμις ὀνόματι. Ἐξεῦρε γὰρ οὗτος τραγικὰς μελῳδίας, καὶ πρῶτος ἐξέθετο δράματα. Μετὰ δὲ τοῦτον Μίνως, καὶ μετὰ Μίνωα, Αὐλέας Τραγικοὺς χοροὺς δραμάτων συνεγράψατο. » Ἰωάνν. Μαλαλ. χρονογραφ. λόγ. ε.

